This is a digital copy of a book that was preserved for generations on library shelves before it was carefully scanned by Google as part of a project to make the world's books discoverable online.

It has survived long enough for the copyright to expire and the book to enter the public domain. A public domain book is one that was never subject to copyright or whose legal copyright term has expired. Whether a book is in the public domain may vary country to country. Public domain books are our gateways to the past, representing a wealth of history, culture and knowledge that's often difficult to discover.

Marks, notations and other marginalia present in the original volume will appear in this file - a reminder of this book's long journey from the publisher to a library and finally to you.

**Usage guidelines**

Google is proud to partner with libraries to digitize public domain materials and make them widely accessible. Public domain books belong to the public and we are merely their custodians. Nevertheless, this work is expensive, so in order to keep providing this resource, we have taken steps to prevent abuse by commercial parties, including placing technical restrictions on automated querying.

We also ask that you:

+ *Make non-commercial use of the files* We designed Google Book Search for use by individuals, and we request that you use these files for personal, non-commercial purposes.
+ *Refrain from automated querying* Do not send automated queries of any sort to Google's system: If you are conducting research on machine translation, optical character recognition or other areas where access to a large amount of text is helpful, please contact us. We encourage the use of public domain materials for these purposes and may be able to help.
+ *Maintain attribution* The Google "watermark" you see on each file is essential for informing people about this project and helping them find additional materials through Google Book Search. Please do not remove it.
+ *Keep it legal* Whatever your use, remember that you are responsible for ensuring that what you are doing is legal. Do not assume that just because we believe a book is in the public domain for users in the United States, that the work is also in the public domain for users in other countries. Whether a book is still in copyright varies from country to country, and we can't offer guidance on whether any specific use of any specific book is allowed. Please do not assume that a book's appearance in Google Book Search means it can be used in any manner anywhere in the world. Copyright infringement liability can be quite severe.

**About Google Book Search**

Google's mission is to organize the world's information and to make it universally accessible and useful. Google Book Search helps readers discover the world's books while helping authors and publishers reach new audiences. You can search through the full text of this book on the web at http://books.google.com/

# IOANNIS TZETZAE

## ANTEHOMERICA

## HOMERICA

ET

## POSTHOMERICA

EX RECENSIONE

IMMANUELIS BEKKERI.

BODLEIANA · BIBLIOTHECA

ACCEDUNT EXCERPTA EX CHRESTOMATHIA PROCLI.

BEROLINI

IMPENSIS GE. REIMERI.

1816.

Digitized by Google

Digitized by Google

# Praemonitum.

Qui primus haec carmina edidit integra, Fridericus Jacobs (Lipsiae a. 1793) libris scriptis librorumve particulis usus est sex. Augustanus enim, quem descripserat a Tryllitschio Heynius impresseratque Schirachius (Halae a. 1770), cum et Posthomericis careret et Antehomericorum versibus post vicesimum octavum 175, Homericorum post ducentesimum vicesimum primum ceteris, Homerica Heynius ex Harleiano (5662) atque Regio (16. C. IV.), Antehomerica e Londinensi Musei Britannici supplevit; Posthomerica autem, quorum viginti tantum versus posuerat Schirachius, prolatos illos e bibliotheca Jacobaea a Dodwello

Digitized by Google

(Dissert. de cycl. vet. p. 803), ea igitur Tychsenus addidit e Vindobonensi (308. ap. Nesselium P. IV.), unde Antehomerica quoque integritati restituerat Heerenus (Biblioth. Antiq. Litt. et Art. Gotting. Fasc. 4. p. 14.).

Accedunt iam duo codices a me in bibliotheca Parisiensi reperti, Regius 2752 et Vaticanus 915, maxima uterque forma, alter chartaceus, rubrica scriptus ab eadem manu qua Draco Stratonicensis (vid. Hermann. praef. p. XVIII), distinctus passim intervallis quibus scholia puto reciperentur: Vaticanus bombycinus, minutis literis lectuque ingratis, foliis 285, quorum 9 eaque novissima data sunt Tzetzae.

---

Digitized by Google

# ΕΚ ΤΗΣ ΠΡΟΚΛΟΥ

## ΧΡΗΣΤΟΜΑΘΕΙΑΣ

Digitized by Google

Digitized by Google

Ἐπιβάλλει *) τούτοις τὰ λεγόμενα ΚΥΠΡΙΑ, ἐν βιβλίοις φερόμενα ἕνδεκα, ὧν περὶ τῆς γραφῆς ὕστερον ἐροῦμεν, ἵνα μὴ τὸν ἑξῆς λόγον νῦν ἐμποδίζωμεν. (1). τὰ δὲ περιεχόμενά (2) ἐστι ταῦτα.

Ζεὺς βουλεύεται μετὰ τῆς Θέμιδος (3) περὶ τοῦ Τρωϊκοῦ πολέμου. παραγενομένη δὲ Ἔρις εὐωχουμένων τῶν θεῶν ἐν τοῖς Πηλέως γάμοις νεῖκος περὶ κάλλους ἐνίστησιν Ἀθηνᾷ, Ἥρᾳ καὶ Ἀφροδίτῃ, αἳ πρὸς Ἀλέξανδρον ἐν Ἴδῃ κατὰ Διὸς προσταγὴν ὑφ' Ἑρμοῦ πρὸς τὴν κρίσιν ἄγονται. καὶ προκρίνει τὴν Ἀφροδίτην ἐπαρθεὶς τοῖς Ἑλένης γάμοις ὁ Ἀλέξανδρος. ἔπειτα δὲ Ἀφροδίτης ὑποθεμένης ναυπηγεῖται,

*) Excerpta haec primum edita sunt in Bibl. Antiq. Litt. et Art. Gotting. Vol. 1. Quorum quae de Cypriis sunt carminibus, ex Escurialensi codice sumpsit Th. Chr. Tychsenus, cetera e Veneto (454) Jo. P. Siebenkeesius.

(1) Quae Proclus de auctore post haec adjecerat, suppleri ex parte possunt ex Photio Cod. 239: Λέγει δὲ καὶ περί τινων Κυπρίων ποιημάτων, καὶ ὡς οἱ μὲν ταῦτα εἰς Στασῖνον ἀναφέρουσι Κύπριον, οἱ δὲ Ἡγησίαν τὸν Σαλαμίνιον αὐτοῖς ἐπιγράφουσιν, οἱ δὲ Ὅμηρον· δοῦναι δὲ ὑπὲρ τῆς θυγατρὸς Στασίνῳ, καὶ διὰ τὴν αὐτοῦ πατρίδα Κύπρια τὸν πόνον ἐπικληθῆναι. ἀλλ' οὐ τίθεται ὁ συγγραφεὺς τῇ αἰτίᾳ ταύτῃ. HEYN.

(2) Vulgo περιέχονται.

(3) Cod. Θέτιδος. Correxit Heynius.

Digitized by Google

καὶ Ἕλενος περὶ τῶν μελλόντων αὐτῷ (4) προθεσπίζει. καὶ ἡ Ἀφροδίτη Αἰνείαν συμπλεῖν αὐτῷ κελεύει. καὶ Κασσάνδρα περὶ τῶν μελλόντων προδηλοῖ. ἐπιβὰς δὲ τῇ Λακεδαιμονίᾳ Ἀλέξανδρος ξενίζεται παρὰ τοῖς Τυνδαρίδαις, καὶ μετὰ ταῦτα ἐν τῇ Σπάρτῃ παρὰ Μενελάῳ. καὶ Ἑλένῃ παρὰ τὴν εὐωχίαν δίδωσι δῶρα ὁ Ἀλέξανδρος. καὶ μετὰ ταῦτα Μενέλαος εἰς Κρήτην ἐκπλεῖ, κελεύσας τὴν Ἑλένην τοῖς ξένοις τὰ ἐπιτήδεια παρέχειν, ἕως ἂν ἀπαλλαγῶσιν. ἐν τούτῳ δὲ Ἀφροδίτη συνάγει τὴν Ἑλένην τῷ Ἀλεξάνδρῳ. καὶ μετὰ τὴν μίξιν τὰ πλεῖστα κτήματα ἐνθέμενοι νυκτὸς ἀποπλέουσι. χειμῶνα δὲ αὐτοῖς ἐφίστησιν Ἥρα. καὶ προσενεχθεὶς Σιδῶνι ὁ Ἀλέξανδρος αἱρεῖ τὴν πόλιν. καὶ ἀποπλεύσας εἰς Ἴλιον γάμους τῆς Ἑλένης ἐπετέλεσεν.

Ἐν τούτῳ δὲ Κάστωρ μετὰ Πολυδεύκους τὰς Ἴδα καὶ Λυγκέως βοῦς ὑφαιρούμενοι ἐφωράθησαν. καὶ Κάστωρ μὲν ὑπὸ τοῦ Ἴδα ἀναιρεῖται, Λυγκεὺς δὲ καὶ Ἴδας ὑπὸ Πολυδεύκους· καὶ Ζεὺς αὐτοῖς ἑτερήμερον νέμει τὴν ἀθανασίαν. καὶ μετὰ ταῦτα Ἶρις ἀναγγέλλει τῷ Μενελάῳ τὰ γεγονότα κατὰ τὸν οἶκον. ὁ δὲ παραγενόμενος περὶ τῆς ἐπ' Ἴλιον (5) στρατείας βουλεύεται μετὰ τοῦ ἀδελφοῦ. καὶ πρὸς Νέστορα παραγίνεται Μενέλαος. Νέστωρ δὲ ἐν παρεκβάσει διηγεῖται αὐτῷ, ὡς Ἐπωπεὺς φθείρας τὴν Λύκου (6) θυγατέρα ἐξεπορθήθη, καὶ τὰ περὶ Οἰδίπουν καὶ τὴν Ἡρακλέους μανίαν καὶ τὰ περὶ Θησέα καὶ Ἀριάδνην. ἔπειτα τοὺς ἡγεμόνας ἀθροίζουσιν ἐπελθόντες τὴν Ἑλλάδα. καὶ μαίνεσθαι προσποιησάμενον τὸν Ὀδυσσέα ἐπὶ τῷ μὴ θέλειν στρατεύεσθαι ἐφώρασαν, Παλαμήδους ὑποθεμένου τὸν υἱὸν Τηλέμαχον ἐπὶ κόλασιν ἐξαρπάσαντες.

Καὶ μετὰ ταῦτα συνελθόντες εἰς Αὐλίδα θύουσι· καὶ τὰ περὶ τὸν δράκοντα καὶ τοὺς στρουθοὺς γενόμενα δείκνυται, καὶ Κάλχας περὶ τῶν ἀποβησομένων προλέγει αὐτοῖς. ἔπειτα ἀναχθέντες Τευθρανίᾳ προσίσχουσι· καὶ ταύτην ὡς Ἴλιον ἐπόρθουν. Τήλεφος δὲ ἐκ βοηθείας Θέρσανδρόν τε τὸν Πολυνείκους κτείνει καὶ αὐτὸς ὑπὸ Ἀχιλλέως τιτρώσκεται. ἀποπλέουσι δὲ αὐτοῖς ἐκ τῆς Μυσίας χειμὼν ἐπιπίπτει

(4) Cod. αὐτῷ. Correxit idem.

(5) Vulgo Ἰλίου.

(6) Cod. λυκούργου. Correxit Heynius comparato Apollodoro (3, 5, 5.)

Digitized by Google

καὶ διασκεδάννυνται. Ἀχιλλεὺς δὲ Σκύρῳ προσσχὼν γαμεῖ τὴν Λυκομήδους θυγατέρα Δηιδάμειαν. ἔπειτα Τήλεφον κατὰ μαντείαν παραγενόμενον εἰς Ἄργος ἰᾶται Ἀχιλλεὺς ὡς ἡγεμόνα γενησόμενον τοῦ ἐπ' Ἴλιον πλοῦ.

Καὶ τὸ δεύτερον ἠθροισμένου τοῦ στόλου ἐν Αὐλίδι Ἀγαμέμνων ἐπὶ θήρας (7) βαλὼν ἔλαφον ὑπερβάλλειν ἔφησε καὶ τὴν Ἄρτεμιν. μηνίσασα δὲ ἡ θεὸς ἐπέσχεν αὐτοὺς τοῦ πλοῦ χειμῶνας ἐπιπέμπουσα. Κάλχαντος δὲ εἰπόντος τὴν τῆς θεοῦ μῆνιν καὶ Ἰφιγένειαν κελεύσαντος θύειν τῇ Ἀρτέμιδι, ὡς ἐπὶ γάμον αὐτὴν Ἀχιλλεῖ μεταπεμψάμενοι θύειν ἐπιχειροῦσιν. Ἄρτεμις δὲ αὐτὴν ἐξαρπάξασα εἰς Ταύρους μετακομίζει καὶ ἀθάνατον ποιεῖ, ἔλαφον δὲ ἀντὶ τῆς κόρης παρίστησι τῷ βωμῷ.

Ἔπειτα καταπλέουσιν εἰς Τένεδον. καὶ εὐωχουμένων αὐτῶν Φιλοκτήτης ὑφ' ὕδρου πληγεὶς διὰ τὴν δυσοσμίαν ἐν Λήμνῳ κατελείφθη, καὶ Ἀχιλλεὺς ὕστερον κληθεὶς διαφέρεται πρὸς Ἀγαμέμνονα. ἔπειτα ἀποβαίνοντας αὐτοὺς εἰς Ἴλιον εἴργουσιν οἱ Τρῶες, καὶ θνήσκει Πρωτεσίλαος ὑφ' Ἕκτορος. ἔπειτα Ἀχιλλεὺς αὐτοὺς τρέπεται ἀνελὼν Κύκνον τὸν Ποσειδῶνος. καὶ τοὺς νεκροὺς ἀναιροῦνται. καὶ διαπρεσβεύονται πρὸς τοὺς Τρῶας, τὴν Ἑλένην καὶ τὰ κτήματα ἀπαιτοῦντες. ὡς δὲ οὐχ ὑπήκουσαν ἐκεῖνοι, ἐνταῦθα δὴ τειχομαχοῦσιν. ἔπειτα τὴν χώραν ἐπεξελθόντες πορθοῦσι καὶ τὰς περιοίκους πόλεις. καὶ μετὰ ταῦτα Ἀχιλλεὺς Ἑλένην ἐπιθυμεῖ θεάσασθαι, καὶ συνήγαγεν αὐτοὺς εἰς τὸ αὐτὸ Ἀφροδίτη καὶ Θέτις. εἶτα ἀπονοστεῖν ὡρμημένους τοὺς Ἀχαιοὺς Ἀχιλλεὺς κατέχει. κἄπειτα ἀπελαύνει τὰς Αἰνείου βόας, καὶ Λυρνησσὸν καὶ Πήδασον πορθεῖ καὶ συχνὰς τῶν περιοικίδων πόλεων, καὶ Τρωίλον φονεύει. Λυκάονά τε Πάτροκλος εἰς Λῆμνον ἀγαγὼν ἀπεμπολᾷ. καὶ ἐκ τῶν λαφύρων Ἀχιλλεὺς μὲν Βρισηίδα γέρας λαμβάνει, Χρυσηίδα δὲ Ἀγαμέμνων. ἔπειτά ἐστι Παλαμήδους θάνατος καὶ Διὸς βουλή, ὅπως ἐπικουφίσει τοὺς Τρῶας Ἀχιλλέα τῆς συμμαχίας τῆς Ἑλληνικῆς ἀποστήσας, καὶ κατάλογος τῶν τοῖς Τρωσὶ συμμαχησάντων.

Ἐπιβάλλει δὲ τοῖς εἰρημένοις ἐν τῇ πρὸ ταύτης βίβλῳ ΙΛΙΑΣ Ὁμήρου, μεθ' ἣν ἐστιν ΑΙΘΙΟΠΙΔΟΣ βιβλία πέντε Ἀρκτίνου Μιλησίου, περιέχοντα τάδε.

(7) Vulgo θήραν.

Digitized by Google

Ἀμαζὼν Πενθεσίλεια παραγίνεται Τρωσὶ συμμαχήσουσα, Ἄρεως μὲν θυγάτηρ, Θρᾷσσα δὲ τὸ γένος· καὶ κτείνει αὐτὴν ἀριστεύουσαν Ἀχιλλεύς· οἱ δὲ Τρῶες αὐτὴν θάπτουσι. καὶ Ἀχιλλεὺς Θερσίτην ἀναιρεῖ, λοιδορηθεὶς πρὸς αὐτοῦ καὶ ὀνειδισθεὶς τὸν ἐπὶ τῇ Πενθεσιλείᾳ λεγόμενον ἔρωτα. καὶ ἐκ τούτου στάσις γίνεται τοῖς Ἀχαιοῖς περὶ τοῦ Θερσίτου φόνου. μετὰ δὲ ταῦτα Ἀχιλλεὺς εἰς Λέσβον πλεῖ, καὶ θύσας Ἀπόλλωνι καὶ Ἀρτέμιδι καὶ Λητοῖ καθαίρεται τοῦ φόνου ὑπ' Ὀδυσσέως.

Μέμνων δὲ ὁ Ἠοῦς υἱὸς ἔχων ἡφαιστότευκτον πανοπλίαν, παραγίνεται τοῖς Τρωσὶ βοηθήσων· καὶ Θέτις τῷ παιδὶ τὰ κατὰ τὸν Μέμνονα προλέγει. καὶ συμβολῆς γενομένης Ἀντίλοχος ὑπὸ Μέμνονος ἀναιρεῖται, ἔπειτα Ἀχιλλεὺς Μέμνονα κτείνει. καὶ τούτῳ μὲν Ἠὼς παρὰ Διὸς αἰτησαμένη ἀθανασίαν δίδωσι. τρεψάμενος δ' Ἀχιλλεὺς τοὺς Τρῶας καὶ εἰς τὴν [πόλιν] (8) εἰσπεσὼν ὑπὸ Πάριδος ἀναιρεῖται καὶ Ἀπόλλωνος. καὶ περὶ (9) τοῦ πτώματος γενομένης ἰσχυρᾶς μάχης Αἴας ἀνελόμενος ἐπὶ τὰς ναῦς κομίζει, Ὀδυσσέως ἀπομαχομένου τοῖς Τρωσίν. ἔπειτα Ἀντίλοχόν τε θάπτουσι καὶ τὸν νεκρὸν τοῦ Ἀχιλλέως προτίθενται. καὶ Θέτις ἀφικομένη σὺν Μούσαις καὶ ταῖς ἀδελφαῖς θρηνεῖ τὸν παῖδα. καὶ μετὰ ταῦτα ἐκ τῆς πυρᾶς ἡ Θέτις ἀναρπάσασα τὸν παῖδα εἰς τὴν Λευκὴν νῆσον διακομίζει. οἱ δὲ Ἀχαιοὶ τὸν τάφον χώσαντες ἀγῶνα τιθέασι. καὶ περὶ τῶν Ἀχιλλέως ὅπλων Ὀδυσσεῖ καὶ Αἴαντι στάσις ἐμπίπτει.

Ἑξῆς δ' ἐστὶν ΙΛΙΑΔΟΣ ΜΙΚΡΑΣ βιβλία τέσσαρα Λέσχεω Μυτιληναίου, περιέχοντα τάδε.

Ἡ τῶν ὅπλων κρίσις γίνεται, καὶ Ὀδυσσεὺς κατὰ βούλησιν Ἀθηνᾶς λαμβάνει, Αἴας δὲ ἐμμανὴς γενόμενος τήν τε λείαν τῶν Ἀχαιῶν λυμαίνεται καὶ ἑαυτὸν ἀναιρεῖ. μετὰ ταῦτα Ὀδυσσεὺς λοχήσας Ἕλενον λαμβάνει, καὶ χρήσαντος περὶ τῆς ἁλώσεως τούτου Διομήδης ἐκ Λήμνου Φιλοκτήτην ἀνάγει. ἰαθεὶς δὲ οὗτος ὑπὸ Μαχάονος καὶ μονομαχήσας Ἀλέξανδρον κτείνει. καὶ τὸν νεκρὸν ὑπὸ Μενελάου καταικισθέντα ἀνελόμενοι θάπτουσιν οἱ Τρῶες.

(8) Vocem πόλιν, qua caret codex, addidit Heynius.

(9) Cod. μέχρι. Correxit Heynius.

Digitized by Google

Μετὰ δὲ ταῦτα Δηΐφοβος Ἑλένην γαμεῖ. καὶ Νεοπτόλεμον Ὀδυσσεὺς ἐκ Σκύρου ἀγαγὼν τὰ ὅπλα δίδωσι τὰ τοῦ πατρός. καὶ Ἀχιλλεὺς αὐτῷ φαντάζεται. Εὐρύπυλος δὲ ὁ Τηλέφου ἐπίκουρος τοῖς Τρωσὶ παραγίνεται, καὶ ἀριστεύοντα αὐτὸν ἀποκτείνει Νεοπτόλεμος.

Καὶ οἱ Τρῶες πολιορκοῦνται. καὶ Ἐπειὸς κατ' Ἀθηνᾶς προαίρεσιν τὸν δούρειον ἵππον κατασκευάζει. Ὀδυσσεὺς δὲ αἰκισάμενος ἑαυτὸν κατάσκοπος εἰς Ἴλιον παραγίνεται, καὶ ἀναγνωρισθεὶς ὑφ' Ἑλένης περὶ τῆς ἁλώσεως τῆς πόλεως συντίθεται. κτείνας τέ τινας τῶν Τρώων ἐπὶ τὰς ναῦς ἀφικνεῖται. καὶ μετὰ ταῦτα σὺν Διομήδει τὸ Παλλάδιον ἐκκομίζει ἐκ τῆς Ἰλίου.

Ἔπειτα εἰς τὸν δούρειον ἵππον τοὺς ἀρίστους ἐμβιβάσαντες, τάς τε σκηνὰς καταφλέξαντες οἱ λοιποὶ τῶν Ἑλλήνων εἰς Τένεδον ἀνάγονται. οἱ δὲ Τρῶες τῶν κακῶν ὑπολαβόντες ἀπηλλάχθαι, τόν τε δούρειον ἵππον εἰς τὴν πόλιν εἰσδέχονται, διελόντες μέρος τι τοῦ τείχους, καὶ εὐωχοῦνται ὡς νενικηκότες τοὺς Ἕλληνας.

Ἕπεται δὲ τούτοις ΙΛΙΟΥ ΠΕΡΣΙΔΟΣ βιβλία δύο Ἀρκτίνου Μιλησίου, περιέχοντα τάδε, ὡς τὰ περὶ τὸν ἵππον οἱ Τρῶες ὑπόπτως ἔχοντες περιστάντες βουλεύονται ὅ τι χρὴ ποιεῖν, καὶ τοῖς μὲν δοκεῖ κατακρημνίσαι αὐτόν, τοῖς δὲ καταφλέγειν, οἱ δὲ ἱερὸν αὐτὸν ἔφασαν δεῖν τῇ Ἀθηνᾷ ἀνατεθῆναι· καὶ τέλος νικᾷ ἡ τούτων γνώμη. τραπέντες δὲ εἰς εὐφροσύνην εὐωχοῦνται ὡς ἀπηλλαγμένοι τοῦ πολέμου. ἐν αὐτῷ δὲ δύο δράκοντες ἐπιφανέντες τόν τε Λαοκόωντα καὶ τὸν ἕτερον τῶν παίδων διαφθείρουσιν. ἐπὶ δὲ τῷ τέρατι δυσφορήσαντες οἱ περὶ τὸν Αἰνείαν ὑπεξῆλθον εἰς τὴν Ἴδην. καὶ Σίνων τοὺς πυρσοὺς ἀνίσχει τοῖς Ἀχαιοῖς, πρότερον εἰσεληλυθὼς προσποίητος (10). οἱ δὲ ἐκ Τενέδου προσπλεύσαντες καὶ οἱ ἐκ [τοῦ] (11) δουρείου ἵππου ἐπιπίπτουσι τοῖς πολεμίοις, καὶ πολλοὺς ἀνελόντες τὴν πόλιν κατὰ κράτος λαμβάνουσι.

Καὶ Νεοπτόλεμος μὲν ἀποκτείνει Πρίαμον ἐπὶ τὸν τοῦ Διὸς τοῦ ἑρκείου βωμὸν καταφυγόντα· Μενέλαος δὲ ἀνευρὼν Ἑλένην ἐπὶ τὰς ναῦς κατάγει, Δηΐφοβον φονεύσας. Κασσάνδραν δὲ Αἴας Ὀϊλέως πρὸς

(10) προσποιήτως malebat Heynius.

(11) Articulus vulgo deest.



Digitized by Google

βίαν ἀποσπῶν συνεφέλκεται τὸ τῆς Ἀθηνᾶς ξόανον. ἐφ' ᾧ παροξυνθέντες οἱ Ἕλληνες καταλεῦσαι βούλονται τὸν Αἴαντα· ὁ δὲ ἐπὶ τὸν τῆς Ἀθηνᾶς βωμὸν καταφεύγει καὶ διασώζεται ἐκ τοῦ ἐπικειμένου κινδύνου. ἔπειτα ἀποπλέουσιν οἱ Ἕλληνες, καὶ φθορὰν αὐτοῖς ἡ Ἀθηνᾶ κατὰ τὸ πέλαγος μηχανᾶται.

..... καὶ Ὀδυσσέως Ἀστυάνακτα ἀνελόντος Νεοπτόλεμος Ἀνδρομάχην γέρας λαμβάνει, καὶ τὰ λοιπὰ λάφυρα διανέμονται. Δημοφῶν τε καὶ Ἀκάμας Αἴθραν εὑρόντες ἄγουσι μεθ' ἑαυτῶν. ἔπειτα ἐμπρήσαντες τὴν πόλιν Πολυξένην σφαγιάζουσιν ἐπὶ τὸν τοῦ Ἀχιλλέως τάφον.

Συνάπτει δὲ τούτοις τὰ τῶν ΝΟΣΤΩΝ βιβλία πέντε Αὐγίου Τροιζηνίου, περιέχοντα τάδε.

Ἀθηνᾶ Ἀγαμέμνονα καὶ Μενέλαον εἰς ἔριν καθίστησι περὶ τοῦ ἔκπλου. Ἀγαμέμνων μὲν οὖν τὸν τῆς Ἀθηνᾶς ἐξιλασόμενος χόλον ἐπιμένει, Διομήδης δὲ καὶ Νέστωρ ἀναχθέντες εἰς τὴν οἰκείαν (12) διασώζονται. μεθ' οὓς ἐκπλεύσας ὁ Μενέλαος μετὰ πέντε νεῶν εἰς Αἴγυπτον παραγίνεται, τῶν λοιπῶν διαφθαρεισῶν νεῶν ἐν τῷ πελάγει. οἱ δὲ περὶ Κάλχαντα καὶ Λεοντέα καὶ Πολυποίτην πεζῇ πορευθέντες εἰς Κολοφῶνα, Τειρεσίαν ἐνταῦθα τελευτήσαντα θάπτουσι.

Τῶν δὲ περὶ τὸν Ἀγαμέμνονα ἀποπλεόντων Ἀχιλλέως εἴδωλον ἐπιφανὲν πειρᾶται διακωλύειν, προλέγον τὰ συμβησόμενα. εἶθ' ὁ περὶ τὰς Καφηρίδας πέτρας δηλοῦται χειμὼν καὶ ἡ Αἴαντος φθορὰ τοῦ Λοκροῦ. Νεοπτόλεμος δὲ Θέτιδος ὑποθεμένης πεζῇ ποιεῖται τὴν πορείαν, καὶ παραγενόμενος εἰς Θρᾴκην Ὀδυσσέα καταλαμβάνει ἐν Μαρωνείᾳ, καὶ τὸ λοιπὸν ἀνύει τῆς ὁδοῦ. καὶ τελευτήσαντα Φοίνικα θάπτει· αὐτὸς δὲ εἰς Μολοσσοὺς ἀφικόμενος ἀναγνωρίζεται Πηλεῖ.... Ἀγαμέμνονος ὑπὸ Αἰγίσθου καὶ Κλυταιμνήστρας ἀναιρεθέντος ὑπ' Ὀρέστου καὶ Πυλάδου τιμωρία· καὶ Μενελάου εἰς τὴν οἰκείαν (13) ἀνακομιδή.

Μετὰ ταῦτά ἐστιν Ὁμήρου ΟΔΥΣΣΕΙΑ. ἔπειτα ΤΗΛΕΓΟΝΙΑΣ βιβλία δύο Εὐγάμμωνος Κυρηναίου, περιέχοντα τάδε.

Οἱ μνηστῆρες ὑπὸ τῶν προσηκόντων θάπτονται. καὶ Ὀδυσσεὺς

(12) Vulgo οἰκίαν. V. Wesseling. ad Diodor. 2, 3.

(13) Vulgo οἰκίαν.

Digitized by Google

θύσας Νύμφαις εἰς Ἦλιν ἀποπλεῖ ἐπισκεψόμενος τὰ βουκόλια, καὶ ξενίζεται παρὰ Πολυξένῳ, δῶρόν τε λαμβάνει κρατῆρα καὶ ἐπὶ τούτου τὰ περὶ Τροφώνιον καὶ Ἀγαμήδην καὶ Αὐγέαν. ἔπειτα εἰς Ἰθάκην καταπλεύσας τὰς ὑπὸ Τειρεσίου ῥηθείσας τελεῖ θυσίας καὶ μετὰ ταῦτα εἰς Θεσπρωτοὺς ἀφικνεῖται καὶ γαμεῖ Καλλιδίκην, βασιλίδα τῶν Θεσπρωτῶν. ἔπειτα πόλεμος συνίσταται τοῖς Θεσπρωτοῖς πρὸς Βρύγους Ὀδυσσέως ἡγουμένου. ἐνταῦθα Ἄρης τοὺς περὶ τὸν Ὀδυσσέα τρέπεται. καὶ αὐτῷ εἰς μάχην Ἀθηνᾶ καθίσταται. τούτους μὲν Ἀπόλλων διαλύει· μετὰ δὲ τὴν Καλλιδίκης τελευτὴν τὴν μὲν βασιλείαν διαδέχεται Πολυποίτης ὁ Ὀδυσσέως υἱός, αὐτὸς δὲ εἰς Ἰθάκην ἀφικνεῖται. κἀν τούτῳ Τηλέγονος εἰς ζήτησιν τοῦ πατρὸς πλέων, ἀποβὰς εἰς τὴν Ἰθάκην, τέμνει τὴν νῆσον. ἐκβοηθήσας δ' Ὀδυσσεὺς ὑπὸ τοῦ παιδὸς ἀναιρεῖται κατ' ἄγνοιαν. Τηλέγονος δὲ ἐπιγνοὺς τὴν ἁμαρτίαν τό τε τοῦ πατρὸς σῶμα καὶ τὸν Τηλέμαχον καὶ τὴν Πηνελόπην πρὸς τὴν μητέρα καθίστησιν. ἡ δὲ αὐτοὺς ἀθανάτους ποιεῖ, καὶ συνοικεῖ τῇ μὲν Πηνελόπῃ Τηλέγονος, Κίρκῃ (14) δὲ Τηλέμαχος.

(14) Codex τὴν μὲν Πηνελόπην Τηλέγονος, Κίρκην. quapropter Heynius συνοικεῖσι.

Digitized by Google

# Index vocabulorum Tzetzeorum,

## quibus caret lexicon Schneiderianum.


ἀγκυλοδείρῳ P. 74.
ἀγλαόπυργον H. 265. 417.
ἀε οδρόμου A. 189.
αἰσχροτίμας P. -03.
ἀλγεόδωροι A. 245.
ἀνδρολόγοιο P. 575.
ἀνδροόμοιος P. 370.
ἀνθερόχειλος P. 506. (Cf. εὔστηθος)
ἀντέπηχον H. 265.
ἀπλούθριξ P. 673.
ἀποστροφέουσι H. 283.
ἀραβίζει i. q. ἀραβεῖ P. 242. 319.
ἀριστοφόνου A. 322.
ἀρχιγένειος P. 372.
βελέῃ P. 08.
βερεθρειόωσι P. 134.
γειαροτῆρας P. 274. — ῆρσι A. 202.
γλαυκόχροιος P. 527.
γλαυκόχροους P. 380.
γυιοτρομέων H. 312.
Δαρδανιήδης H. 337.
δηϊζομένας P. 186.
εἰκοστάτου A. 360.
ἐμμενέοντες P. 425.
ἐπεστρεφέοντο H. 463.
ἐπιδ ονες P 89. 642.
ἐπεσσόμενον P 121.
ἐπαρθεύεσκε H. 316.
εὐαύχην P. 478.
εὐρυβερέθρῳ H. 4-4.
εὐρυπώγων P. 654.
εὔσκυλτος P. 529.
εὔστηθος P. 3-8 469.
ἐφεδριάασκεν H. 3 2.
θεόφοιτος P. 5 1.
καλλίμαστος A. 357. P. 506.


Digitized by Google

καρτερογούνασι P. 93. — των 55.
καταπέφνας H. 97.
κλεψιγαμοῦσα H. 152.
κονδόθριξ P. 661.
κυανέθειρος H. 268.
λευκοκόμης P. 659.
λευκόχροος P. 230.
λιθόχροος P. 272.
μακρόῤῥις P. 363. 472. 478.
μάκροψις A. 399. P. 369. 655.
μεγακύκλου P. 763.
μικρόμαστος A. 354.
μικρόπος P. 372. 506.
μοιρήσαντες i. q. λαχόντες P. 746.
ξανθογένειος P. 669.
ξανθοέθειρος P. 381. 658.
ὀβριμόεντι P. 564. — όεσσαν H. 247.
ὀβριμόφωνος H. 267.
οἰστοφέροις P. 159. — ους P. 46. — ων P. 85.
ὀλόλευκον P. 667.
ὀρκοσφάλτην H. 69.
οὐδενοσώρας H. 160.
οὐλοέθειρος P. 662.
πανάστερον P. 58.
παναφραδέα A. 333.
πατροτοκήων P. 538.
περιτεύξας i. q. περιποιήσας. A. 249.
πέφνον imperat. A. 366.
πιναροχαίτης A. 398.
ποδοσφαλέουσαν H. 444.
ποινήτειραν P. 35.
πολυεύνους H. 152.
πυκνοέθειρος P. 471.
πυριεργέος H. 54.
σίμαλος P. 377.
Σκυθόμητρες A. 22.
στρεβλόριζιν P. 663.
ταναέθειρος P. 383.
τεσσαράγωνος P. 668.
τεσσαράπλευροις P. 254.
φαολκά P. 664.
φλογίσκε H. 46.
χαλκεόθυμος H. 325. P. 490.
χαλκοθέμεθλον H. 373.
ὤριστον P. 482.

# ΙΩΑΝΝΟΥ ΓΡΑΜΜΑΤΙΚΟΥ

## ΤΟΥ ΤΖΕΤΖΟΥ

## ΤΑ ΠΡΟ ΟΜΗΡΟΥ.



Digitized by Google

Digitized by Google

Ἀργαλέου πολέμοιο μέγαν κλόνον Ἰλιακοῖο
ἔννεπε, Καλλιόπεια, ὑφ' ἡμετέρῃσιν ἀοιδαῖς,
ἀρχῆθε δ' ἐπάειδε καὶ ἐς τέλος ἐξερέεινε,
ἐξ ὅτεο Πρίαμος λοιγὸν Τρώεσσι φυτεύει
Δύσπαριν οὐλόμενον, ἀρχὴν πολέμοιο κακοῖο,
τὸν νέος οὐκ ἐρέεινεν Ὁμήρου κυδαλίμοιο.
ἔννεπε δ' Ἀργείης Ἑλένης ἐρόεσσαν ὀπωπήν,
πῶς τέ μιν ἦγεν Ἀλέξανδρος Σπάρτηθεν Τροίην.
ἔννεπε δὲ πλόον Ἑλλήνων καὶ νῆας ἁπάσας.
εἰπὲ δὲ Πηλείδαο κότον καὶ ὄλεθρον Ἀχαιῶν,
Σαρπήδοντος Πατρόκλου τε καὶ Ἕκτορος οἶτον.
εἰπὲ δὲ Πενθεσίλειαν, κούρην ἀντιάνειραν.
ἔννεπε δ' Αἰθιόπων στρατόν, υἱέα τ' Ἠριγενείης.

Vs. 1. μέγαν κλόνον Vat. κακὸν πόνον vulgo. 3. ἀρχῆθεν Vat. invito in scholiis suis Tzetza. 4. ὅτεο Vat. ὅτεω Par. ὅτε ὁ vulg. 6. τὴν legendum coniic. Jacobs. 8. μὲν Aug. Vind. Σπάρτηθεν Τροίην Vat. σπάρτηθεν ἐς τροίην Par. Σπαρτῆθε Τροΐην vulg. Σπάρτηθε Τροίηνδε coniic. Jacobs. 13. υἷα



Digitized by Google

φράζεο δ' Αἰακίδαο πότμον δακρυόεντα.
Εὐρύπυλόν τε ἄειδε καὶ υἷεα Αἰακίδαο,
μαντείας θ' Ἑλένου, καὶ Ἀλεξάνδροιο φονῆα.
εἰπὲ δὲ καὶ πτολίπορθον Ἐπειοῦ δούριον ἵππον,
εἰσόκεν ἤϊστωσε πελώρια τείχεα Τροίης.
ταῦτά μοι εὐπατέρεια, Διὸς τέκος, ἔννεπε Μοῦσα.
Ἦτοι μὲν Τροίη πολέμοις πρότερον μογέεσκε.
πέρσε γὰρ αὐτὴν Ἡρακλέος μένος ἀγριοθύμου·
δουρὶ δ' αὖ αἱ Σκυθόμητρες ἐπέδραμον εἶτα γυναῖκες,
θυγατέρες Ἄρηος, Ἀμαζόνες ἀγκυλότοξοι.
αὐτὰρ ἐπεὶ παύσαντο χερῶν ἀγέρωχοι ἐρωαί
Ἄρεας αἱματόεντας ἐπ' ἀλλήλοις προφέρουσαι,
Τρῶες ἀναπνεύσαντες ἀπὸ πτολέμου κρυεροῖο
γαίης ἔργα νέμοντο παρ' εἰρήνῃ κομόωντες.
οὐδ' ἄρα μὴν τάδε Μοίραις ἥνδανε χαλκεομίτοις·
ἀλλὰ γὰρ αὖτις μέρμερα Τρώεσι μητιόωντο.
τόφρα γὰρ οὖν τέρποντο παρ' εἰρήνῃ κομόωντες,
εἰσόκεν οὔνομα λυγρὸν ἐπ' αὐτόφιν ἔπλετο Πάρις.
αὐτὰρ ἐπεὶ Μοῖραι στιβαροὺς κλώσαντο ἀτράκτους,
τοὶ γαῖαν κλονέουσι καὶ οὐρανὸν ἠδὲ θάλασσαν,
εἶξαν δ' ἀτράκτοισι θεοὶ μεδέοντες Ὀλύμπου,

τε Vat. υἷα δ' Aug. Vind. 14. ἐκρυόεντα Vat. 16. δ' vulg. quam ubi simpliciter pono, recepta lectio amborum est codicum meorum. 17. δούριον Par. δουρειον Aug. δούρειον vulg. 20. προτέροις vg. 22. Articulum delerunt Tychsenus et Jacobs. 24. ἐρωὰς Par. 28. χαλκεομίτοις] Sic apographum Tryllitschianum. χαλκεωμίτοις Vat. χαλκεομήτοις vg. 29. ἀλλὰ Aug. Lond. αὖτις Vat. αὖθις vg. Τρώεσι Par. Τρωσὶ vg. 31. ἐπ' Vat. ἀπ' vg. 32. στιβαρὰς Par. 33. δονέουσι Par. 34. θεοὶ μεδ.] μεδ. πάμπαν

Digitized by Google

Φαίνων ἠδὲ Ζὴν καὶ Ἄρης καὶ Φοῖβος Ἀπόλλων,
Ἀφροδίτη Ἑρμῆς τε καὶ Ἄρτεμις ἀγλαόμορφος,
ἠδ' ἄλλοι δυοκαίδεκα, τρίς τε δέκα καὶ ὀκτώ,
καὶ τότε δὴ Τρώεσσιν ἐτεύχετο πήματος ἀρχή·
αὐτίκα γὰρ Πριάμῳ βασιλῆϊ κύεσκεν Ἑκάβη.
πρῶτα δὲ τὴν στροβέεσκον ὄνειροι ἠερόφοιτοι·
γρυνὸν γὰρ πυρόεντα τεκεῖν δοκέεσκεν ὀνείροις,
ὃς πρῆσε Τροίην τε καὶ ἄστεα Τρώϊα πάντα.
μάντεις δ' αὖ τὸν ὄνειρον ὑπεκρίνοντο, λέγοντες·
γαστέρι παῖδα φέρεις, Ἑκάβη, Τρώεσσιν ὄλεθρον.
ὣς ἄρα μάντιες ἀτρεκέως τόθ' ὑπεκρίνοντο.
αὐτὰρ ἐπεὶ τέκε Τρωσὶν Ἑκάβη δύςγονον υἷα,
οὔνομα τῷδε Πάριν θέτο, τὸν μὴ ὄφελλε τεκέσθαι.
αὐτὰρ ἄρα Πρίαμος παιδὸς γενέθλην ὑποτρείων,
ἤλυθε χρησόμενος παρὰ βωμοῖς Ἠελίοιο.
ἦν δέ τις ἐν Τρώεσσιν Ἀπόλλων, μάντις ἀμύμων,
νηῷ ἐν ἠγαθέῳ φαεσιμβρότου Ἠελίοιο,
ὃς χρησμοῖσι τάδε προέειπεν μαντοσύναις τε·

Φράζεο, Τρώων ὄρχαμε, Φοίβου μῦθον ἐμοῖο.
ἀρτιτόκοιο λοχεύματος ἐκ Πάριδος, σέο παιδός,
ἄστυ τόδε Τροίης πολύμοχθος Ἄρης ἐκπέρσει,

Par. 37. οἱ δ' Par. 38. ἐπέσχετο Lond. 40. ἠεροφοῖται Par. ἠερόφατμοι Lond. 43. δ' αὐτὸν Lond. 44. φέρει Lond. 45. μάντιες Par. Vat. μάντεις vg. ἀτρεκέως Lond. Par. Vat. ἀτρεκέες vg. Particula τόθ' recepta est ex Vat. 46. ἐπὴν ἑκάβη τέκε Τρωεσι Par. ex corr. 47. ὃν μὲν Vind. 48. γένεθλον Vat. ὑποτρείσας Vind. 49. βωμοῖσιν Vind. 50. ἀπόλλωνι Lond. 52. προσέειπεν Aug. Lond. μαντοσύνῃ Lond. 54. ἀρχετόκοιο Vind. 55. πολύμοχλος Lond. κα-

Digitized by Google

εἴ κεν ὁ παῖς λυκάβαντας ὑπερθορέῃ τριάκοντα.
Αὐτὰρ ἐπεὶ τό γ' ἄκουσε βίη Πριάμοιο ἄνακτος,
ἔκθετο μὲν τὸν παῖδα παρ' ἀγροῖς οἷσι τρέφεσθαι,
δείματο δ' αὖ Πάριον τιμῇ Πάριδος, ἑο παιδός.
κεῖσε δ' ὁ παῖς ἀτίταλλε, διδασκόμενος περὶ πάντων,
ὅσσα γόνοις ἐπέοικεν εὐγενέων βασιλήων.
ῥήτωρ δ' αὖ γεγαὼς συγγράμματα γράψατο πολλά,
εἶν ἑνὶ δ' αὖτε θεὰν ἐπιθυμίην, Ἀφροδίτην,
κρίνων, Παλλάδος ἠδ' Ἥρης γε ὑπέρτερα δῶκεν.
αὐτὰρ ἐμοὶ δοκέει τόδε λώϊον ἔμμεναι ἄλλο,
ὥς ῥα σοφὸς τελέων περὶ κόσμου γράψε γενέθλης,
ἐκ Χάεος Ἐρέβους τε ὅπως πρώτιστα φάανθεν
Πηλεύς, γαῖα φερέσβιος, ἠδὲ Θέτις γε, θάλασσα,
ἐν δ' Ἥρη πυρόεσσα, καὶ ἠέρος εὖρος, Ἀθήνη·
σὺν δ' ἄρα τῇς ἐπέην φιλίη, χρυσῆ Ἀφροδίτη.
νεῖκος δ' αὖτ', Ἔρις, ἔνθετο μῆλον, κόσμον, ἄεθλον.
τὰς δ' ἄρα μὴν νικήσασα φιλίη, Ἀφροδίτη,
εἵλετο κόσμον ἅπαντα καὶ ἔμπεδον εἰσέτι ἴσχει.
τοὔνεκα μυθεύσαντο γάμους καὶ ἔριν δὲ θεάων.

ταπίεσσι Lond. 56. εἴσοκε παῖς Vind. ὑπεκθορέῃ Vat. 57. τὸν Vind. πριάμοιο Lond. Par. Vat. Πριαμοῦ vg. ἄνακτος Par. βασιλῆος vg. 58. Articulo caret Vind. ἀγροῖσιν Vind. 59 Πάριδος Lond. Vat. Πάριος vg. 60 δ' ὁ Par. δὲ vg. 61. γόνοις Par. γένους vg. 62. δ' αὖτε γεγαὼς γράμματα Vat. δ' αὖ γεγαγω γράμματα Vind. 63. ἐπίθυμιαν vg. 64. Particula γε debetur Par. (Cf. v. 68.) 65. δοκεῖ Lond. ἄλλων Par. 66. ὅς Lond. τε ἐὼν Vind. 67. ἐρέβου vg. φαάνθη Par. 69. ἐκ δ' coniic. Jacobs, ἠδ' Tychsenus. ἠέρος Vat. αἰέρος vg. 71. μεῖκος vg. μῆλον vulgo omissum addit Par. 74. μυθεύσαντο Lond. Par. Vat. μυθήσαιντο vg. γάμους καὶ ἔριν δὲ θεάων Par. Vat.

Digitized by Google

τοῖα μὲν υἱὸς ὅδε Πριάμου Παρίῳ ῥέζεσκεν.
Αὐτὰρ ἐπεὶ τριάκοντα παρέδραμόν οἱ λυκάβαντες,
αὐτίκ' ἄρα Πρίαμος καὶ Τρώων ἄσπετα φῦλα
ἐκ Παρίου μολπῇσιν ἀγίνεον ἐς Τροίην Πάριν,
ἄφρονες, οὐδ' ἐνόησαν ἑὸν φθόρον ἐγκονέοντες.
Ξανθικὸς ἦεν μείς, ὅτ' ἀγίνεον αὐτὸν ἐς ἄστυ,
Ξανθικός, ὃν Ἀπρίλλιον Ἕλληνες καλέουσιν·
εἰκοστῷ καὶ δευτέρῳ ἤματι τοῖο δὲ ἤχθη.
τέρπετο δ' αὖ τοκέεσσι κασιγνήτοις τ' ἐνὶ Τροίῃ,
ῥέζων πατρῴοισι θεοῖς κλειτὰς ἑκατόμβας,
ἑπτάσιν ὀκταπόροις καλλιχρόου Ἠριγενείης.
εὖτ' ἂν δ' ἕβδομον ἦμαρ ἔην πεντηκοστόν τε,
ὀγδοάτῃ δεκάτῃ τε Δεσίου Ἰουνίοιο,
καὶ τότε μιν προέηκε πατὴρ ἐπὶ Ἄργεος ἄστυ,
ῥέξαι νηῷ Ἀπόλλωνος λυγρῶν ἀπερωήν.
δῶκε δέ οἱ ἀνέρας ἑκατὸν καὶ κάλλιμα δῶρα,
δῶκε δὲ γράμματ' ἄγειν Ἀργείων ἐν βασιλεῦσιν,
ὄφρα γένοιτο φίλος καὶ ἐκτελέσοι ἑκατόμβας.
δείδιε γὰρ αἴων, Γανυμήδης οἷα πεπόνθει

γάμους τε ἔριν δὲ θεάων Vind. γάμους τε ἔριν θεάων vg. cum Lond. 75. πριάμοιο Vind. πάριοι ῥέζεσθεν Lond. 78. κολπῇσιν Vind. Παρίην vulg. cum Lond. sed πάριν Par. Vat. Vind., in dactylum exeunte versu perinde atque Hom. 110. 117. 119. 182. 384. 450. Posthom. 378. et nescio an 358 et 385, Homerico scilicet exemplo. (v. Schol. Ven. et Victor. ad Iliad. 15, 187.) 80. ξαντικὸς Vind. 81. ῥήτνες Lond. 82. εἰκοστῷ δὲ καὶ Lond. 85. ὀκτασπόροις Vind. 87. τε ex Par. accessit. qui mox ἰουνίου. 88. προσῆκε Lond. προσίηκε Vind. 89. κακῶν vg. 91. εὖ βασ. Tychs. 92. ἐκτελέσοι Vat. ἐκτελέσῃ vg.

Ταντάλυ ὕπο ἄνακτος, ἐϋγενέος βασιλῆος·
τοὔνεκα τὸν προέηκε σὺν ἀνδράσι, γράμμασι, δώροις.
αὐτὰρ ὅ γ᾽ ἁλμυρὸν ὕδωρ πλεύσας Ἐννοσιγαίου,
ἐς Σπάρτην ἐπαγαλλόμενος Διὸς ἤλυθεν οὔροις,
δέκτο δ᾽ ἐπ᾽ Ἀτρείδαο δόμοις ξανθοῦ Μενελάου.
ὃς Μενέλαος τοῖο δεδεγμένος ἀγλαὰ δῶρα
ἔπλεεν ἐς Κρήτην, Διὶ εἷο προπάτορι ῥέξων,
Ἀστερίῳ, βασιλῆϊ Κρηταίων περ ἐόντι.
οἱ πρὶν γάρ τε Δίας πάντας κάλεον βασιλῆας,
οὕνεκά μιν καλὸς Διὸς ἀστὴρ σκῆπτρον ὀπάζει,
ἔξοχα δ᾽ αὖ μοίρῃσι παραὶ Νεμέοιο λέοντος,
ἐν πέμπτῃ δὲ μάλιστα· τὸ γὰρ βασιλεύτατον ἄλλων,
ἠελίοιο Ζῆνα παρ᾽ ἀκτίνεσσι φαείνειν.
Ἦτοι ὅ γ᾽ ἐς Κρήτην πλέεν, εἷο προπάτορι ῥέξων,
δώμασιν οἷσι δ᾽ ἔλειπεν Ἀλέξανδρον σὺν ἑταίροις,
ὃς δή τοι ἐπὶ δείελα ἰδὼν τοῖο δάμαρτα
δουλίσιν ἀμφιπόλοισι κατερχομένην περὶ κῆπον,
κάλλεϊ ἱμερόεντι περιπρεπέϊ γανόωσαν,
ἐρώτων βελέεσσι πυριφλεγέεσσιν ἐπλήγη.
οὐδὲ μὲν οὐκ ἀντέπληξε, πλῆξε δὲ καὶ αὐτήν·
ἀμφοτέροις ἐρατὸν γὰρ ἐπ᾽ εἴδεϊ κάλλος ἔκειτο.

95. προσέηκε Vind. γράμματι, δώροις Lond. γράμματα γράψας Vat. 97. ἐπαγγελλόμενος Lond. ἐπαγόμενος Vat. 98. δέκτ ἐπ᾽ Lond. 100. ῥέξων Par. ῥέζων vg. 101. κρηταπερ ἐόντι Lond. Κρητῶν κοιρανέοντι malebat Jacobs, immemor Homeri Odyss. 14, 199. 102. ἐκάλουν Par. ἐκάλεον Aug. Lond. 103. μὴ Lond. 108. δώμασιν οἷσι δ᾽ Vat. δώμασι δ᾽ οἷσιν vg. 110. δουλίσιν Par. Vat. δούλησιν Vind. δούλαις vg. κήπου vg. ἐπὶ κῆπον malebat Jacobs. 112. ἔρωτος vg. περιφλεγέεσσιν Vat. 113. πλῆξεν Par.

ἢ γὰρ ἔην λευκή, τερενόχροος, εὔοφρυς, εὔριν,
λευκῷ δηριόωσα καὶ ἀργεννῆς χιόνεσσιν,
στήθεα δ' ἱμερόεντα καὶ ἀγλαὸν εἶδος ἔχουσα,
ὑγρῶπις, μελίγηρυς, εὔχαρις ἠδὲ βοῶπις,
θριξὶν ἑλισσομένῃσι χρυσοχρόοις κομόωσα,
εὔστολος ἠδὲ τελείη, πάντα φέρουσα τέλεια.
τόσσον δ' αὖ προφέρεσκε γυναικῶν κάλλεϊ πασῶν,
ἀστράσιν ἐννυχίοισιν ὅσον προφέρῃσι σελήνη.
ἥβης δ' αὖ χρόνον εἶχεν ἐεικοστόν τε καὶ ἕκτον.
τοία μὲν ἦεν κάλλεϊ κούρη Τυνδαρεώνη.
αὐτὸς δ' αὖτε Πάρις Χαρίτων ἄπο κάλλος ἔχεσκε·
λευκὸς ἔην, εὐῆλιξ, εὔχαρις, ἠϋγένειος,
θριξὶν ἑλιχρύσοισι καρηκομόων περὶ πάντας.
τοῖος ἐὼν τοίης ἐράσατο, πόθει δὲ καὶ αὐτή.
    Αὐτὰρ ἐπεὶ σήμηναν ἐπ' ἀλλήλοισιν ἔρωτα
Αἴθρης ἐννεσίῃσι καὶ ἄλλων θηλυτεράων,
νηΐ ἐνιθέμενοι δμωὰς κόσμον τ' ἐρατεινόν,
ἠδ' αὐτὴν Αἴθρην δολόεσσαν, πρὸς δὲ καὶ αὐτούς,
φεῦγον ἐπ' ἀτρυγέτοιο θαλάσσης Τύριον οἶδμα,
δειδιότες περάαν πλόον, ὃν Τροίηθεν ἐπέπλων.

116. λευκοδηριόωσα καὶ ἀργενὴς vg. 120. εὐτόστολος ἠδὲ πελείη Vind. 123. ἧμος vg. χρόνιος Vind. 125. κάλλος ἔχεσκε Vat. κάλλεος ἔσχεν vg. Parisinus et hunc versum omittit et seqq. tres. 127. Codicum omnium ὑπὲρ correxi comparatis Hom. 439. et Posthom. 470. Neque enim alterum inveniebam neglectae positionis exemplum. 128. τοίης ἐράσατο Vat.: vg. enim omittit priorem vocem. αὐτὴ Vat. αὐτός vg. 129. Praepositio deest Par. 130. αἰνεσίῃσιν Par. Vat. 131. ἐνὶ θέμενοι vg. 134. ἔπεπλον vg.

Digitized by Google

Αὐτίκα δ' ἐς Κρήτην Μενελάου οἰκέες ἦλθον,
ἀγγελίην ἐρέοντες· ὁ δ' ἔπλεεν ὦκα μάλιστα,
εὐρυπόρου Σεισίχθονος οἴδματα πάντα ματεύων.
πολλὰ δ' ἀτρὴξ μογέεσκε, μάτην ἀκίχητα διώκων·
κεῖνοι γάρ τε μέγα πέλαγος Τύριον περόωντες
ἄστυ Τρώϊον εἶδον, ὅλον λυκάβαντα μογεῦντες.
Τρωϊάδες δ' Ἑλένην ἰδὲ Τρῶες πάντες ἰδόντες
θάμβεον, ὡς μάρμαιρεν ἀριπρεπέεσσιν ὀπωπαῖς·
τὴν δ' Ἑκάβη φιλέεσκε καὶ ἐν μεγάροισιν ἐτίμα.
Ὥς πολέες φάσκουσιν Ἀλέξανδρον βασιλῆα
ἐλθέμεν ἐς Σπάρτην, ἀπό γε Τροίηθε κιόντα,
ὡς δ' Ἑλένην ἐκ Σπάρτης ἐς Τροίηνδε κομίσαι.
ἄλλοι δ' ἀλλ' ἐρέουσιν, ὅσα φίλον ἔπλετο θυμῷ,
οὐδ' Ἑλένην φάσκουσι μετὰ Τρώεσσι παρεῖναι,
ἀλλ' ἄρα Πρωτῆος ποτὶ δῶμα στρωφάασθαι,
αὔτως δὲ στρατὸν Ἀργείων Τρώεσσι μάχεσθαι.
ὣς ἄρα πολλοὶ πλάζονθ', ἱστορίην στροβέοντες·
αὐτὰρ ἐγὼν ἐρέεινα πανατρεκέως ἀγορεύων,
ὥς κεν ἕκαστα γένοντο. τὰ δ' ἀλλ' ἀνεμώλια πάντα.
Ἀργεῖοι δ' Ἑλένην παρέμεν Τρώεσσι μαθόντες
Ἀτρείδην Μενέλαον, Ὀδυσσέα καὶ Παλαμήδην,
Θησείδην τ' Ἀκάμαντα καὶ Διομήδεα δῖον
πρέσβεις Τρωσὶν ἔπεμπον, ἀπήτεον ἄρ τε γυναῖκα.
καί νύ κεν Ἀντιμάχοιο κακόφρονος ἔκταθεν ἔργοις

135. οἴκιες vg. 137. μαντεύων Vind. 139. Τύρων vg. 140. ἴδον vg. 141. ἠδὲ Vind. 145. Τροίηνδε vg. 149. στροφάασθαι vg. 153. κεν deest vg. ταδ' ἀλλ' vg. 154. Ἀργείην vg. 157. ἄρτι vg. 158. ἔκπαθεν vg.

Digitized by Google

Ἀργείων οἱ ἄριστοι πρεσβεῖης ἀλεγεινῆς,
χρυσὸν Ἀλεξάνδροιο δεδεγμένου εἵνεκα τοῖο·
ἀλλ' Ἀντήνωρ ξείνισσεν, ἐκ θανάτοιο σαώσας.
ᾧ ποτε περθομένης Τροίης ἀπέδωκαν ἀμοιβάς·
πάντα γάρ οἱ ἔσδωσαν, δῶκάν τ' ὄλβια δῶρα.
τῆμος δ' Ἀντιμάχοιο ἀτάσθαλα ἔργα φυγόντες
Ἀργείοις ἐρέεινον, ὅσα πάθον ἄλγεα Τροίῃ.
καὶ τότε δὴ στρατὸς ἐξ ἠπείρων ἠδ' ἀπὸ νήσων
εἰς ἓν ἀολλίζοντο, κατὰ Τρώων ὀρέοντες.
οἷς δέκα δὴ λυκάβαντες ἀγειρομένοις παρέδραμον,
ἐξ οὗ ἔβη ποτὶ Τροίην κούρη Τυνδαρεώνη.
καὶ τότ' ἐπεσσυμένως ἐς νῆας ἔβαινον Ἀχαιοί·
δέδμηντο γὰρ ἅπαντες Τυνδαρέοιο ἐν ὅρκοις.
Αὐλίδα δ' εἰς ἔπλεον, κακὰ Τρωσὶν μητιόωντες.
  Οὐδὲ μὲν οὐδ' Ἀχιλῆος κυδαλίμοιο λάθοντο,
ἀρτιγάμου ἔτ' ἐόντος ἑῆς ἀλόχου μεγάροισιν,
ἐς Σκῦρον, Δολόπων νῆσον, Λυκομήδεος ἄστυ —
τοὔνεκα μυθεύονται πέπλους θηλυτεράων —·
ἀλλ' ἄρ' Ὀδυσσέα, Νέστορα καὶ Παλαμήδεα δῖον
ἐς Πηλῆα Θέτιν τε καὶ ἐς Χείρωνα ἔπεμπον,
ὃς σοφίῃ ἐκέκαστο καὶ ἐν μερόπεσσι θεοῦτο,
ὃς καὶ Ἀχιλλῆος μόρον ἣ ἐπέφραδε θυγατρί.

159. πρεσβείῃ ἀλεγεινῇ Vat. 160. τοῖο Par. τοίου vg. 163. γάρ οἱ] Haec omittit Vind. 164. δ' deest Vind. 165. ὅσ' ἂν vg. ὅσαν Vind. ἄλγεα Par. Vat., ut coniic. Jacobs. ἄγεα vg. 167. ὀρέοντες Par. Vat. ἐρέντες Vind. ἐρεθέντες vg. de coniectura Heereni. 172. Τρωσὶν Par. Τρωσὶ vg. 176. τοὔνεκα Vat. οὕνεκα vg. μυθεύοντο vg. 180. ὃς καὶ Vat. ὅς γε Par. ὃς vg. Ἀχιλῆος vg. ἐπέφραδε Vat. ἐπέφρασε Par. ἐπεφράσατο vg.

ὃν τότε λισσάμενοι οὗτοι, πρέσβηες ἀγαυοί,
κῆρ Ἀχιλῆος ἄγουσι παρ' Ἀτρείδαις καὶ Ἀχαιοῖς,
πεντήκοντα νέας σὺν Μυρμιδόνεσσι φορεῦντα·
πεντήκοντα δ' ἔβαινόν ἐπ' ἄνδρες νηΐ ἑκάστῃ.
πὰρ δέ γε Πάτροκλος ἦεν Ἀμυντορίδης τε ὃ Φοῖνιξ,
ἦτοι ὁ λαοῦ, ὁ δ' αὖτ' Ἀχιλῆος μύθῳ ἀνάσσων.
τοὺς δὲ ἰδόντες γήθεον Ἀργεῖοι Παναχαιοί,
τερπόμενοι λαοῖσι καὶ ἡγεμόσι πινυτοῖσι,
κάλλεϊ καὶ ἔργοις τε ἀελλοδρόμου Ἀχιλῆος·
ἔργοις γὰρ καὶ κάλλεϊ ποσσί θ' ὑπείρεχε πάντων.
Αὐτὰρ ἐπεὶ Παναχαιοὶ ἐς Αὐλίδα ἠγερέθοντο,
νηυσὶν ἐν ὀγδώκοντα καὶ ἓξ χιλίαις ἑκατόν τε,
χειμερίοις ἀνέμοισι παραυτόθι εἰρύκοντο.
καὶ τότ' ἐς Ἄργος Ὀδυσσεὺς δώμασι Κλυταιμνήστρας
ἐλθὼν ἐξαπάτησε, καὶ ἤγαγεν Ἰφιγένειαν,
Ἀρτέμιδι θύσων μαντείαις Θεστορίδαο.
ὡς δέ μιν εἶδε πατὴρ Ἀγαμέμνων, δάκρυα χεῦε.
καὶ τότ' ἀπ' ἐκσπεδίτοιο ἐφημίξαντο ἄνακτα,
οὕνεκα ταύτην εἷο θύγατρα ἔρεζον Ἀχαιοί.
τὴν ἔλαφος ῥύσασκεν, ἔθηκέ τε χώρῃ ἐκείνῃ
Ἀρτέμιδος ἱέρειαν ταυροπόλοιο, σελήνης·

181. λισσάμενοι Par. λισσόμενοι vg. πρέσβηες Par. πρέσβιες ὅσοι Vat. πρεσβῆες vg. 182. κῆρ Vat. κῆρ' vg. ἄγουσι Vat. ἄγον vg. (Cf. Antehom. 206. 372.) ἀχαιοῖσι Par. 183. φορεῦντες vg. 185. τε ὁ Par. τε vg. 192. νηυσὶν Par. ναυσὶν vg. ὀγδοήκοντα vg. 194 δώμασι Par. δώρασι vg. Vaticanus quid haberet, non liquebat. 196. μαντείᾳ vg. 197. ἴδε vg. χεῦεν Par. 198. ὑπ' ἐκ σπεδίτοιο vg. καὶ τότε ἐξπέδιτοί νιν coniic. Jacobs. 199. ἔρεζον Par. ἔρεξεν Vind. ἔρεξον vg.

Digitized by Google

ταύροις γάρ τε βόεσσι πολεύει γειαροτῆρσι,
τὸν σπόρον αὐξάνουσα σεληναίης ὑγρότησι,
οὕνεκα καὶ κερόεσσα πέλει καὶ ἅμαξαν ἰθύνει.
τῆς ἱέρειαν ἔθεντο Πανέλληνες τὴν κούρην,
τὴν δ' ἔλαφον ῥέζουσι παραΐξασαν ὁμίλῳ.
καὶ τότ' ἄρ' ὑγροπνόους ἀνέμους ἐφέηκε Σελήνη
Ζηνὸς φραδμοσύνῃσιν ἐν οὐρανοῦ ἀστερόεντος
οὔρια φυσιόωντας, ἐπὶ Τροίην ἀνάγοντας.
Ἀργεῖοι δ' ἀνάγοντο καὶ ἐς Τροίην ἐπέπλωον,
ἐκ πλατάνου μεμαθηκότες ἠδὲ δράκοντος ἅπαντα.
Τρωσὶ δ' ἄρ' Ἶρις ἔφαινεν Ἄρηος σῆμα κακοῖο,
οὐρανόθεν πυκινῶς φαεινομένη πολύχροιος·
σῆμα γὰρ ἥ γε τέτυκται χείματος ἠὲ ἄρηος,
ἀστράσιν οὐρανίοις ἐριλαμπέσιν ἶσα, κομήταις.
Τρῶες δ' ὡς ἐνόησαν, φύλακας εἶσαν ἁπάντῃ·
ἀλλ' ὅτε δὴ πέλας Ἀργείων νέες ἦσαν ἐκείνων,
κοσμηθέντες ἄρα Τρῶες περὶ σῆμα Μυρίνης,
τεύχεσι λαμπόμενοι, παρὰ ῥηγμῖνα κατέβαινον,
στησάμενοί τ' ἐμάχοντο, νέας δ' ἀπόεργον Ἀχαιῶν.
δηρὸν δ' ὡς ἐμάχοντο ἐτώσια ἐν δέει ὅσσης,
πρῶτος Πρωτεσίλαος ἀρήϊος ἔκθορε πλοίου.
τοῦ δέ τοι εἶδος ἀγητόν, ἐπ' εἴδεϊ κάρτος ἔκειτο·

206. ῥεζουσι Par. ῥέζουσιν vg. 207. ὑγροπλόους Par. ἀργυροπλόους Aug. 208. ἀπ' malebat Jacobs. 211. Secutus sum Par.: vulgo enim ἐκ πλατάνοιο μαθόντες ἀπὸ Vat. ἐκ πλατάνοιο μαθόντες ἠδ' ἀπὸ. 213. πυκνῶς Vat. 215 ἐριλαμπέσιν Vat. ἐπιλαμπέσιν vg. 216. εἶσαν Vat. quod coniecerat Morus. ἦκαν Par ἦσαν Aug. ἦσαν vg. 220. δ' vg. νῆας Aug. ἀπόεργον Vat. ἀπέεργον vg.

ξανθοκόμης ἦν, μακρός, ἐλίθριξ ἠδὲ γλαγόχρους,
τολμήεις, εὐσχήμων, εὔθετος, ἀρτιγένειος·
αἰζηῶν τε νεώτατος ἦν ἄνευ Ἀντιλόχοιο.
τοῦ δὲ γυνὴ θαλάμοισιν ἐλείπετο, Λαοδάμεια,
νυμφιδίοις κόσμοισιν ἀγαλλομένη ἐπὶ βαιόν·
οὐ γὰρ δηρὸν ἔχαιρεν, ἐπ' ἀγλαΐῃ κομόωσα.
νυμφίον ὡς γὰρ ἄκουσε καλὸν πεσέειν παρὰ νηυσίν,
χείρεσιν ἀντιπάλοισιν ἐν ἅλματι τοῖο θανόντα
Εὐφόρβου, Ἀχάτου ἢ Ἕκτορος ἀνδροφόνοιο,
νυμφιδίοις κόσμοισι περιστέψασα ἑαυτήν,
φαιδροῖς ὀφθαλμοῖσιν ἄορ παρὰ ἧπαρ ἱεῖσα
εἰς Ἀΐδην κατέβαινεν, ἀτερπέα νυμφευτῆρα,
καλὴ καλῷ ζήσασ' ἠδὲ θανοῦσα ἀκοίτῃ.
τὴν ἐγὼ αἰνέω ἠδ' αὖτ' ἔξοχον ἀμφαγαπάζω,
ὡς Εὐάδνην Ἄλκηστίν τε καὶ Ἀντιόπειαν,
τὴν Θεανώ τε καὶ Οἰνώνην καὶ Λουκρετίην τε,
ἠδὲ καὶ Ἀβραδάτου καλὴν ἄλοχον Πανθείην,
πρὸς δέ γε Πορκίην, ἐσθλὴν παράκοιτιν Βρούτου,
αἳ πόσιας τίμησαν καὶ ἔλαβον κλέος ἐσθλόν,
οὐδὲ λέχη ἤσχυναν, ἀτάσθαλα ἔργα φιλοῦσαι,
οἷαι νῦν τελέθουσιν, ἀναιδέες, ἀγριόθυμοι,
Φυλονόμαι, Φαῖδραι Σθενέβοιαί τ' ἀλγεόδωροι.

Τῆς τοι Λαοδαμείης ὡραῖος παρακοίτης

224. ξανθόκομος Vat. 226. δὲ vg. 227. τοῦδε vg. δαοδάμεια Par. 231 αἵματι vg. 234 παρ' Vat. περὶ Par. 237. ἠδ' αὖτ'] καὶ vg. 240. πανθείην Vat. Πανθίην vg. 241. τε Vat. 243. φιλεῦσαι Vat. φρονοῦσαι vg. 245. φυλονόμαι Vat. φιλονόμαι Par. Φιλονόμη vg. Φαίδρη, Σθενέβοιά τε vg.

πρῶτος, Πρωτεσίλαος ἀρήϊος, ἔκθορε πλοίου,
πῖπτε δ' ἐπεσσυμένας καὶ ἔλυσε φόβον χρησμοῖο,
νίκην οἷς ἑτάροισιν ἑῷ θανάτῳ περιτεύξας·
πάντες γὰρ τὸν ἄριστον ἰδόντες τόνδε πεσόντα
νηῶν ἐξεχέοντο καὶ ἀλλήλους ἐνάριζον,
αὐτὰς δ' αὖ κατέδησαν πρυμναίοισι κάλωσιν.
αὐτὰρ ἐπεὶ ἐρύθηνε πελώριον οἶδμα θαλάσσης
αἱματόεις χείμαῤῥος, ἀπ' ἀμφοτέρων κελαρύζων,
νύκτα φυλαξάμενοι Τρῶες περὶ ἄστυ ἐχώρουν,
ἀντιβίην τρείοντες ἐν Ἀργείοισι μάχεσθαι.
Κύκνος δ' ἐκ Τενέδοιο μέσῳ ἐνὶ νυκτὸς ἀμολγῷ,
Τρωσὶ χαριζόμενος, ἤγειρε μάχην ἐπ' Ἀχαιοῖς.
τὸν δ' Ἀχιλεὺς κατέπεφνε καὶ ἀνέρας, οἵ οἱ ἕποντο.
Ἔκτοτε δ' Ἀργείοισιν ἐείσατο κέρδιον εἶναι
Τρώων κώμας περθέμεν ἠδέ τε ἄστεα πάντα.
τεῦξαν δὲ κλισίας πλεκτάς, σταβάροις ἀραρυίας.
καί ῥ' οἱ μὲν κατέμιμνον, ἐνὶ κλισίῃσι μένοντες,
ἄλλοι δ' ἄστε' ἔπερθον, Ἀχιλλεὺς δ' αὖτε μάλιστα
δίῳ σὺν Παλαμήδει, ἀνέρι πολλὸν ἀρίστῳ,
ὃς σοφίῃ ἐκέκαστο, γράμματα δ' εὗρε βροτοῖσιν,
πεσσόν, ἀριθμούς τε, ζυγοστασίην τε καὶ ἄλλα.
σὺν τῷ πρῶτον Ἀχιλλεὺς καὶ ἄλλοις Παναχαιῶν
ἐς Μυσοὺς ἐνέβαλλεν, ἐπ' ἄστεα Ἡρακλείδου
Τηλέφου, εὐρυμέδοντος, εὐγενέος βασιλῆος.

252. πρυμναίῃσι vg. 255. Malim παρά. 256. ἀτιμίην Par. 258. μάχην πανάχαιοῖς Vat. 259. εἶσι Aug. 260. δ' deest vg. 261. πάρθεμεν Aug. πορθέειν Vat. 262. σταβάραις Aug. σταβάραις vg. 263. κατέμιμνον Vat. παρέμιμνον vg. 268. παναχαιοῖς Vat.

ἔνθα μάχη δριμεῖα, πολύς τε φόνος Παναχαιῶν
αὐτῶν τε Μυσῶν, πολλοὶ δὲ τρoπῶντο Ἀχαιοί·
Τήλεφος αὐτὸς γὰρ καὶ Αἶμος, ἄναξ Ἀρείδης,
πρὸς δ᾽ αὖ Ἑλωρός τ᾽ Ἀκταῖός τ᾽, Ἴστροιο γενέθλη,
ἐν δὲ γυναῖκες Μυσῶν ἅρμασιν οἷσι μάχοντο.
καί νύ κεν ἐς κλισίας τε καὶ ἐς νέας ἦλθον Ἀχαιοί,
εἰ μὴ Τήλεφον αὐτὸν μηρῷ πλῆξεν Ἀχιλλεύς,
εἴ κε Νιρεὺς μὴ ἔπεφνεν ἀμαιμάκετον βασίλειαν,
ἅρματι μαρναμένην, Ἱερήν, δόρατι περονήσας·
ἡ γάρ τε προθέεσκε καὶ Ἀργείους ἐνάριζε,
μαινομένη ἐπ᾽ ἀκοίτῃ, τόν περ ἔτρωσεν Ἀχιλλεύς.
τὴν Μυσοί τε καὶ Ἀργεῖοι στενάχοντο πεσοῦσαν,
τόσσος δὲ θρῆνος περὶ κάλλεϊ ὤρετο ταύτης,
Τηλέφῳ ὡς σπείσασθαι Ἀχιλλῆα πτολίπορθον·
ἡ γὰρ καὶ Ἑλένην ἐπεκαίνυτο κάλλεϊ πολλόν.
Αὐτὰρ ἐπεὶ σπείσαντο καὶ ἐς κλισίας κατέβησαν,
πάντες ἄρ᾽ Ἀργεῖοι φίλεον Παλαμήδεα δῖον,
οὕνεκ᾽ ἀνὴρ πολυΐδρις ἔην καὶ ἤπια ᾔδει,
τοὺς δέ τε ἀσχαλόωντας ἔρωτι πάτρης ἐρατεινῆς
εὑρὼν πεσσὸν ἔτερπε, καὶ ἐξελάασκεν ἀνίην,
ἠδέ τε νούσους προὔλεγε καὶ νούσων ἀπερωήν,

ἀλ-

272. τρώοντο coniic. Heynius. 274. δ᾽ αὖ Vat. δ᾽ αὖθ Par. δ᾽ αὖτ᾽ Aug. δὲ τ᾽ vg. τ᾽ alterum omittunt Par. Vat. 278. ἀμαιμακέτην coniic. Morus. 280. ἐδάϊζε Par. Vat. 281. τόν περ ἔτρωσεν Vat. τόν πέρ οἱ ἔτρωσεν Par. τὸν περιέτρωσεν Aug., τὸν περίτρωσεν vg. 284. πείσασθαι Par. 285. ἀπεκαίνυτο coniic. Jacobs. 286. κατέβαινον Vat. 288. ἐὼν Vat. ἦεν Aug. 291. ἠδὲ τε καὶ Vat.

ἀλθεστήρια φάρμακα βρώσιες τ' ἐξερεείνων·
οὕνεκα σήματα ἠδὲ τεράατα προὔλεγε πάντα,
οὕνεκά τε ξύμπασι φίλος μερόπεσσι τέτυκτο,
οὐδ' ἀγέρωχος ἔην ἢ ἀτάσθαλα ἔργα ἔρεζε.
τοὔνεκα τὸν φιλέεσκον Ἀχαιῶν ἔθνεα πάντων.

Αὐτὰρ Ὀδυσσεύς, ἡρώων φθόρος, ἔχθος ἀρίστων,
ὅς ῥα Φιλοκτήτην Λήμνῳ λίπε, νῆας ἐλάσας,
ὅς τ' Αἴαντα πελώριον ὕστερον ἔκτα χολώσας,
Λοκρὸν δ' ὅς ἔρσε θαλάσσῃ — φεῦγε γὰρ εἵνεκα τοῖο
μοῦνος ἀπ' ἄλλων Ἀργείων —, στυγέεσκε τὸν ἄνδρα,
οὕνεκά οἱ ἀρετῇ ἐριδαίνων οὐδὲν ἰσοῦτο.
τῷ καὶ ὄλεθρον ἔτευξε δολοφροσύνῃσι νόοιο,
Ἀργείοις δ' ἐχόλωσεν Ἀχιλλῆα πτολίπορθον,
λοιμὸν δὲ στονόεντα κατὰ στρατὸν ὦρσε φέρεσθαι.
ἀρχὴν δ' αὐτῶν ἔχθεος εἴπω, τίς τοι ἐτύχθη.
οὐ μὲν Ὀδυσσέος εἰκῇ μνήσομαι αὐτὸς ἀρότρου,
οὔτ' ἄρα Τηλεμάχοιο. ψεύδεα πάντα τέτυκται·
αὐτὸς γὰρ συνάγειρεν Ἀχαιῶν πάντας ἀρίστους.
ταῦτα δέ τοι ἐρέω νημερτέα, ὥς περ ἐτύχθη.

Ἀργείοις περόωσιν ἀπ' Ἄργεος οἶδμα θαλάσσης,
ἐς Τροίην ὅτ' ἔπλωον, φαίνετο σήματα πολλά,
σκηπτοὶ ἐριφλεγέες μεγαλοσμάραγοι βρονταί τε,
ἴριδες ἠδὲ κομῆται λεῖψίς τ' ἠελίοιο·
καὶ τά γε θυμῷ τρείεσκον πάντες Παναχαιοί.

293. τέρατα Aug. Par. 295. ἔρεζε Vat. ἔρεξε vg. 296. πάντα coniic. Schirachius. 301. ἀπ' ἄλλων Par. Vat. ἀπάν-[illegible] 302. οὕνεκά Par. οὕνεκεν vg. 306. ἄχθεος Vat. [illegible] Heynius. 314. λείψεις coniic. Tryllit-



Digitized by Google

ἔνθα μάχη δριμεῖα, πολύς τε φόνος Παναχαιῶν
αὐτῶν τε Μυσῶν, πολλοὶ δὲ τρoπῶντο Ἀχαιοί·
Τήλεφος αὐτὸς γὰρ καὶ Αἶμος, ἄναξ Ἀρεΐδης,
πρὸς δ' αὖ Ἑλωρός τ' Ἀκταῖός τ', Ἴστροιο γενέθλη,
ἐν δὲ γυναῖκες Μυσῶν ἅρμασιν οἶσι μάχοντο.
καί νύ κεν ἐς κλισίας τε καὶ ἐς νέας ἦλθον Ἀχαιοί,
εἰ μὴ Τήλεφον αὐτὸν μηρῷ πλῆξεν Ἀχιλλεύς,
εἴ κε Νιρεὺς μὴ ἔπεφνεν ἀμαιμάκετον βασίλειαν,
ἅρματι μαρναμένην, Ἱερήν, δόρατι περονήσας·
ἥ γάρ τε προθέεσκε καὶ Ἀργείους ἐνάριζε,
μαινομένη ἐπ' ἀκοίτη, τόν περ ἔτρωσεν Ἀχιλλεύς.
τὴν Μυσοί τε καὶ Ἀργεῖοι στενάχοντο πεσοῦσαν,
τόσσος δὲ θρῆνος περὶ κάλλεϊ ὤρετο ταύτης,
Τηλέφῳ ὡς σπείσασθαι Ἀχιλλῆα πτολίπορθον·
ἥ γὰρ καὶ Ἑλένην ἐπεκαίνυτο κάλλεϊ πολλόν.
Αὐτὰρ ἐπεὶ σπείσαντο καὶ ἐς κλισίας κατέβησαν,
πάντες ἄρ' Ἀργεῖοι φίλεον Παλαμήδεα δῖον,
οὕνεκ' ἀνὴρ πολυΐδρις ἔην καὶ ἤπια ᾔδει,
τοὺς δέ τε ἀσχαλόωντας ἔρωτι πάτρης ἐρατεινῆς
εὑρὼν πεσσὸν ἔτερπε, καὶ ἐξελάασκεν ἀνίην,
ἠδέ τε νούσους προὔλεγε καὶ νούσων ἀπερωήν,

ἀλ-

272. τρώοντο coniic. Heynius. 274. δ' αὖτ Vat. δ' αὖθ Par. δ' αὖτ' Aug. δὲ τ' vg. τ' alterum omittunt Par. Vat. 278. ἀμαιμακέτην coniic. Morus. 280. ἐδάιζε Par. Vat. 281. τὸν περ ἔτρωσεν Vat. τόν πέρ οἱ ἔτρωσεν Par. τὸν περιέτρωσεν Aug. τὸν περίτρωσεν vg. 284. πείσασθαι Par. 285. ἀπεκαίνυτο coniic. Jacobs. 286. κατέβαινον Vat. 288. ἐὼν Vat. ἦεν Aug. 291. ἠδὲ τε καὶ Vat.

ἀλθεστήρια φάρμακα βρώσεις τ' ἐξερεείνων·
οὕνεκα σήματα ἠδὲ τεράατα προὔλεγε πάντα,
οὕνεκά τε ξύμπασι φίλος μερόπεσσι τέτυκτο,
οὐδ' ἀγέρωχος ἔην ἢ ἀτάσθαλα ἔργα ἔρεζε.
τοὔνεκα τὸν φιλέεσκον Ἀχαιῶν ἔθνεα πάντων.
Αὐτὰρ Ὀδυσσεύς, ἡρώων φθόρος, ἔχθος ἀρίστων,
ὅς ῥα Φιλοκτήτην Λήμνῳ λίπε, νῆας ἐλάσας,
ὅς τ' Αἴαντα πελώριον ὕστερον ἔκτα χολώσας,
Λοκρὸν δὲ ἔρσε θαλάσσῃ — φεῦγε γὰρ εἵνεκα τοῖο
μοῦνος ἀπ' ἄλλων Ἀργείων —, στυγέεσκε τὸν ἄνδρα,
οὕνεκά οἱ ἀρετῇ ἐριδαίνων οὐδὲν ἰσοῦτο.
τῷ καὶ ὄλεθρον ἔτευξε δολοφροσύνῃσι νόοιο,
Ἀργείοις δ' ἐχόλωσεν Ἀχιλλῆα πτολίπορθον,
λοιμὸν δὲ στονόεντα κατὰ στρατὸν ὦρσε φέρεσθαι.
ἀρχὴν δ' αὐτῶν ἔχθεος εἴπω, τίς τοι ἐτύχθη.
οὐ μὲν Ὀδυσσέος εἰκῇ μνήσομαι αὐτὸς ἀρότρου,
οὔτ' ἄρα Τηλεμάχοιο. ψεύδεα πάντα τέτυκται·
αὐτὸς γὰρ συνάγειρεν Ἀχαιῶν πάντας ἀρίστους.
ταῦτα δέ τοι ἐρέω νημερτέα, ὥς περ ἐτύχθη.
Ἀργείοις περόωσιν ἀπ' Ἄργεος οἶδμα θαλάσσης,
ἐς Τροίην ὅτ' ἔπλωον, φαίνετο σήματα πολλά,
σκηπτοὶ ἐριφλεγέες μεγαλοσμάραγοι βρονταί τε,
ἴριδες ἠδὲ κομῆται λεῖψίς τ' ἠελίοιο·
καί τά γε θυμῷ τρείεσκον πάντες Παναχαιοί.

293. τέρατα Aug. Par. 295. ἔρεζε Vat. ἔρεξε vg. 296. πάντα coniic. Schirachius. 301. ἀπ' ἄλλων Par. Vat. ἀπάντων vg. 302. οὕνεκά Par. οὕνεκεν vg. 306. ἄχθεος Vat. 307. αὖθις coniic. Heynius. 314. λείψεις coniic. Tryllitschius.

αὐτὸς δ᾽ αὖ Παλαμήδης ἐκ δέος εἵλετο πάντων,
φήσας οὐκ Ἀργείοις, Τρωσὶ δὲ σῆμα κακοῖο·
πάντα γὰρ ἀντολίηθεν ἐφαίνετο σήματα ταῦτα.
πρὸς δέ τε μάντις ἔειπεν, ἀληθέα πάντα πιφαύσκων.
πεσσὸν δ᾽ αὖ καὶ γράμματα δεύτερον εὗρεν Ἀχαιοῖς.
καὶ τότε τὸν κυδαίνεσκον δῖοι Παναχαιοί.
καί τά γε θυμὸν ἔκναιον ἀριστοφόνου Ὀδυσῆος.
Αὐτὰρ ἐπεὶ ἀπὸ Μυσῶν ἐς κλισίας κατέβησαν,
Τηλέφῳ ἠδὲ καὶ ἄλλοις σπεισάμενοι βασιλεῦσιν,
ἐξ ὀρέων λύκοι ἐς κλισίας κατέβαινον Ἀχαιῶν,
δμῶας ἀναρπάζοντες ἰδ᾽ οὐρῆας. αὐτὰρ Ὀδυσσεύς,
ᾧ θυμῷ ποθέων Παλαμήδεϊ ἀντιφερίζειν,
μακρὰ βοῶν ἀνέβαινε παρ᾽ οὔρεα, θῆρας ἐρύξων,
τοξοφόρους πολέας κούρους φορέων Παναχαιῶν,
νήπιος, οὐδ᾽ ἐνόησε τὸ σῆμα πέλον λοιμοῖο.
τοὺς δὲ ἰδὼν Παλαμήδης μειδιόων προσέειπεν·
Ὦ Ὀδυσεῦ πολύβουλε, σὺν ἀνδράσι τοξοφόροισι,
τίπτε λύκοισι μάχην καταφραδέα τήνδε φορεῖτε;
οὔ νυ λύκοι, σχέτλιοι, παρὰ οὔρεσι καὶ πάρος ἦσαν;
ἀλλὰ τίς αὐτῶν Ἀργείους δηλήσατο πρόσθε;
λοιμοῦ σῆμα τόδ᾽ ἐστίν· ἐᾶτε δὲ τόξα καὶ ἰούς,
ἐν λαχάνων βελέεσσι δ᾽ ἐρύκετε λοιμοῦ ἐρωήν,
μηδὲ κρεῶν γεύεσθε, καὶ εἰς ἅλα βαίνετε πάντες.
Ὣς ἔφαθ᾽· οἱ δέ τε πάντες ἐποίεον, ὡς ἐκέλευεν·
μοῦνος δ᾽ αὖ Ὀδυσεὺς ἐν ἐπεσβολίῃσιν ἄτιζεν.

12

319. πιφάσκων Vat. 322 ἔκναιον Vat. ἔκναιεν vg. 330. λιμοῖο Vat. 337. βελέεσσιν ἐρύκατε vg. 340. ἐν] ἑ coniic. Heynius.

Digitized by Google

λοιμοῦ δ' αὐτίκ' ἐπεισφρήσαντος ἐπ' ἄστεα Τρώων,
αὐτοὶ ἀσινέες ἐκ κακοῦ ἔκφυγον οἶοι ἀπ' ἄλλων.
καὶ τότε δὴ Παλαμήδην ὡς θεὸν ἦσαν ἄγοντες.
Αὐτὰρ ὁ ἐχθρὸς ἀνήρ οἱ ἐμήδετο κῆρα μέλαιναν,
καὶ κτάνεν, οὐδ' ἀφάμαρτε, δολοφροσύνῃσι νόοιο.
ἤτοι γὰρ Παλαμήδης πόρθεεν ἄστεα Τρώων
σὺν γ' Ἀχιλῆϊ, ἕλον δὲ εἴκοσι τρεῖς τε πόληας.
ἐκ τάων κειμήλια πολλὰ φέρον Παναχαιοῖς
ἠδὲ γυναῖκας πολλὰς Χρύσου τ' Ἀστυνόμειαν.
αὐτὰρ Ἀχιλλεὺς Ἱπποδάμειαν ἕλε Βρισῆος,
οἶος ἀπ' ἄλλων Ἀργείων, καὶ ἔχεσκε παρ' αὐτῷ.
ἀλλ' ἄρα τῶν αἴτοιτε κοράων εἶδος ἐρατόν.
Χρυσηὶς μὲν ἔην τυτθή, λεπτή, γλαγεόχρους,
ξανθοκόμης, μικρόμαστος, ἐτῶν δέκα ἐννεάδος τε,
παρθένος ὡραίη. Βρισηὶς δ' Ἱπποδάμεια
μακρὰ ἔην, λευκή, μελανόθριξ, οὐλοέθειρος,
καλλίμαστος ἰδ' εὔστολος, εὖρις, καλλιπάρῃος,
φαιδρὸν μειδιόωσα, σύνοφρυς δ' εἴδετο ἔμπης.
ἐν δὲ Μύνητος ἔην γυνή, ὃς βασίλευε Λελέγγων.
εἰκοσάτου πρώτου δὲ χρόνου τότε τήνδε ἐοῦσαν
Αἰακίδης ἀπάτερθεν Ἀχαιῶν κάσχεθεν οἴκοι·
οἱ δὲ βαρυφρονέοντες Ἀχιλλεῖ ἀγριάασκον.
καὶ τότ' Ὀδυσσεὺς Ἀτρείδην προσέειπεν ἄνακτα·

342. ἔφυγον Aug. 347. σύν γ' Par. σὺν δ' Vat. σὺν vg. Particulam δὲ omittit Vat. πόλιας Vat. 348 φέρων Vat. 354 ξανθοκόμης Par. ξανθοκόμη vg. 359. ἡ δὲ coniic. Heynius. Μύνητος Par. Μίνητος vg. λελέγων Par. 360. εἰκοσάτου vg. πρώτου Par. πρωάτου vg. 361. οἴος Vat.



Digitized by Google

Ἀγνώσσεις τάδε δὴ Παλαμήδεος ἔμμεναι ἔργα,
ὃς σὰ σκῆπτρα παρείρεται ἠδ' Ἀχιλῆϊ διδίσκει;
ἀλλ' ἄγε, σὺ βασίλευε, ἀτὰρ Παλαμήδεα πέφνον.
Ὣς φάτο οὔλιος ἀνήρ· τῷ δ' ἐφεήνδανε βουλή.
καὶ δὴ Τρῶα κατέσχεθον, ᾧ περ ἔειπον γράψαι,
ὅσσα κεν ἂν Πρίαμος Παλαμήδεϊ γράψε φιλοῦντι.
αὐτὰρ ἐπεὶ γράψαν, Παλαμήδεος εὐνῇ ἔθεντο,
δμῶα δαλώσαντες δώροις Παλαμήδεος ἐσθλοῦ.
καὶ τότε τόνδε ἄγουσι παρὰ κλισίας ἀπὸ Λέσβου,
μῆχαρ ἑλέπτολι ὡς δῆθεν καλέοντες ῥέξαι,
χωρίζουσι δὲ ὥς ἀπ' Ἀχιλλῆος μεγαθύμου.
οὗτος δ' αὖ προςέειπε παρ' Ἀτρείδησι μολήσας·
Εἰ μὲν μῆχαρ ἑλέπτολι δίζησθ', Ἀτρείωνε,
εἰσί τοι Αἴαντες δοιοί, πολέων ὀλετῆρες·
εἰ δ' ἀπ' ἐμεῖο χερῶν ἄλλο ποθεέσκετε μῆχαρ,
αὐτίκα Τροίη ἕτοιμος ἐμῷ ἐνὶ μήχεϊ κεῖσθαι.
Ὣς φάτο· οὐδ' ἐγίνωσκε, τὰ δὴ προέτευξαν ἐκεῖνοι.
αὐτίκα γὰρ δὴ ψευδέα γράμματα ἐξαγαγόντες
ἰλλάσιν αὐτὸν ἔδησαν, Ἑλλάδος ὡς προδοτῆρα,
κὰδ δὲ Μυκηναῖοι κτείνουσι Κεφαλλῆνές τε
βάλλοντες λιθάδεσσιν. ὁ δ' ἔστενε, ταῦτα πιφαύσκων·
χαῖρε, Ἀλήθεια κυδρή! πρόθανες γὰρ ἐμεῖο.
Ὣς ὁ μὲν ἔκθανεν, ἄλλοι δ' αὖ μύροντο Ἀχαιοί

367. τῷ δὲ γ' ἐφήνδανε Par. 370. θέντο Vat. 372. περὶ Par. 373. ἑλεπτόλεων codices omnes. Correxit Jacobs. 374. δὲ ὡς Par. δ' ὡς vg 375. Ἀτρείδησι Vat. Ἀτρείδαισι vg. 377. Malim πόλεων. 378. ἐμοῖο vg. χειρῶν Aug. χειρῶν τε Vat. ποθέσκετε Aug. Vat. 379. μήχει vg. 380. προέτευχον Par. Vat. 384. τάδε πιφάσκων Vat. 385. ἐμεῖο Vat. ἐμοῖο vg.

σιγῇ, πάντες δειδιότες χόλον Ἀτρεΐδαο·
οὐ γὰρ θάπτειν εἴα ἑ, οὔτ᾽ ἄρα δάκρυα λείβειν,
φὰς θανέειν τὸν θάψαντα καὶ ἄκλαυστον ἐσεῖσθαι.
Αἴας δ᾽ ὡς ἐνόησεν ἑταῖρον τόνδε πεσόντα —
ἐγγύθι γὰρ Σαλαμίς τε καὶ Εὔβοια, τῶν πάτραι —,
οἰμώξας μέγα καὶ ἄορ ἑλκύσας παρὰ μηροῦ
βαῖνε μέσον Παναχαιῶν, ἐν δὲ κέδασσε βολῇας,
αὐτὸς δὲ κλαίεσκεν ἀδινά, πεσὼν περὶ νεκρῷ,
ἐν δὲ κόμην προθέλυμνον τίλλεν, ἀπὸ κρατὸς ἕλκων,
θάψε δὲ τὸν φιλέων, κλαύσας, ἀέκητι ἀνάκτων.
Ἀλλ᾽ ἤτοι μορφὴν τοῦδ᾽ ἀνέρος ἐξερέεινω.
μακρός, λευκὸς ἔην, ξανθόθριξ, πιναροχαίτης,
μάκροψις, ῥαδινός, Σοφίης ἰδ᾽ Ἄρηος ὑποδμώς.
ξανθοκόμης δ᾽ ἄρ᾽ ἐὼν καταείδετο πιναροχαίτης,
οὕνεκεν οὐκ ἀλέγιζε κομάων οὐδὲ βλακείης,
ἀλλ᾽ ἄρ᾽ ἐνὶ κονίησιν ἀρήϊον ὕπνον ἴαυεν,
μελδόμενος κρατεροῦ πολέμοιο λόχων τε φαλάγγων,
λαῶν θ᾽, οἵ οἱ ἕποντο, ὅπως σώοιτο ἕκαστος·
ταῦτα γάρ οἱ ψυχῆς δόκεε κρείσσω κομέων τε.
τὸν δ᾽ Ὀδυσεὺς ἔκτεινε δόλοις, κτερέϊξε δ᾽ ἄρ᾽ Αἴας.

389. ἔσεσθαι vg. (Cf. Posthom. 644.) 393. ἐκ legendum putabat Jacobs. 394. περὶ Par. παρὰ vg. 401 ἀλέγιζεν vg. 403. Sic Par. Ceteri enim cum vg. omissa voce κρατεροῦ post φαλάγγων addunt alterum τε. 405. μορφῆς malebat Jacobs. 406. ἔκτανε Vat.

ἔνθα μάχη δριμεῖα, πολύς τε φόνος Παναχαιῶν
αὐτῶν τε Μυσῶν, πολλοὶ δὲ τροπῶντο Ἀχαιοί·
Τήλεφος αὐτὸς γὰρ καὶ Αἶμος, ἄναξ Ἀρείδης,
πρὸς δ' αὖ Ἕλωρός τ' Ἀκταῖός τ', Ἴστροιο γενέθλη,
ἐν δὲ γυναῖκες Μυσῶν ἅρμασιν οἷσι μάχοντο.
καί νύ κεν ἐς κλισίας τε καὶ ἐς νέας ἦλθον Ἀχαιοί,
εἰ μὴ Τήλεφον αὐτὸν μηρῷ πλῆξεν Ἀχιλλεύς,
εἴ κε Νιρεὺς μὴ ἔπεφνεν ἀμαιμάκετον βασίλειαν,
ἅρματι μαρναμένην, Ἱερήν, δόρατι περονήσας·
ἥ γάρ τε προθέεσκε καὶ Ἀργείους ἐνάριζε,
μαινομένη ἐπ' ἀκοίτῃ, τόν περ ἔτρωσεν Ἀχιλλεύς.
τὴν Μυσοί τε καὶ Ἀργεῖοι στενάχοντο πεσοῦσαν,
τόσσος δὲ θρῆνος περὶ κάλλεϊ ὤρετο ταύτης,
Τηλέφῳ ὡς σπείσασθαι Ἀχιλλῆα πτολίπορθον·
ἥ γὰρ καὶ Ἑλένην ἐπεκαίνυτο κάλλεϊ πολλόν.
Αὐτὰρ ἐπεὶ σπείσαντο καὶ ἐς κλισίας κατέβησαν,
πάντες ἄρ' Ἀργεῖοι φίλεον Παλαμήδεα δῖον,
οὕνεκ' ἀνὴρ πολυΐδρις ἔην καὶ ἤπια ᾔδει,
τοὺς δέ τε ἀσχαλόωντας ἔρωτι πάτρης ἐρατεινῆς
εὑρὼν πεσσὸν ἔτερπε, καὶ ἐξελάασκεν ἀνίην,
ἠδέ τε νούσους προὔλεγε καὶ νούσων ἀπερωήν,

ἀλ-

272. τρώοντο coniic. Heynius. 274. δ' αὖ Vat. δ' αὖθ' Par. δ' αὖτ' Aug. δέ τ' vg. τ' alterum omittunt Par. Vat. 278. ἀμαιμακέτην coniic. Morus. 280. ἐδάϊζε Par. Vat. 281. τὸν περ ἔτρωσεν Vat. τόν πέρ οἱ ἔτρωσεν Par. τὸν περιέτρωσεν Aug., τὸν περίτρωσεν vg. 284. πείσασθαι Par. 285. ἀπεκαίνυτο coniic. Jacobs. 286. κατέβαινον Vat. 288. ἐὼν Vat. ἦεν Aug. 291. ἠδέ τε καὶ Vat.

ἀλθεστήρια φάρμακα βρώσεις τ' ἐξερεείνων·
οὕνεκα σήματα ἠδὲ τεράατα προὔλεγε πάντα,
οὕνεκά τε ξύμπασι φίλος μερόπεσσι τέτυκτο,
οὐδ' ἀγέρωχος ἔην ἢ ἀτάσθαλα ἔργα ἔρεζε.
τοὔνεκα τὸν φιλέεσκον Ἀχαιῶν ἔθνεα πάντων.
Αὐτὰρ Ὀδυσσεύς, ἡρώων φθόρος, ἔχθος ἀρίστων,
ὅς ῥα Φιλοκτήτην Λήμνῳ λίπε, νῆας ἐλάσας,
ὅς τ' Αἴαντα πελώριον ὕστερον ἔκτα χολώσας,
Λοκρὸν δς ἔρσε θαλάσσῃ — φεῦγε γὰρ εἵνεκα τοῖο
μοῦνος ἀπ' ἄλλων Ἀργείων —, στυγέεσκε τὸν ἄνδρα,
οὕνεκά οἱ ἀρετῇ ἐριδαίνων οὐδὲν ἰσοῦτο.
τῷ καὶ ὄλεθρον ἔτευξε δολοφροσύνῃσι νόοιο,
Ἀργείοις δ' ἐχόλωσεν Ἀχιλλῆα πτολίπορθον,
λοιμὸν δὲ στονόεντα κατὰ στρατὸν ὦρσε φέρεσθαι.
ἀρχὴν δ' αὐτῶν ἔχθεος εἴπω, τίς τοι ἐτύχθη.
οὐ μὲν Ὀδυσσέος εἰκῇ μνήσομαι αὐτὸς ἀρότρου,
οὔτ' ἄρα Τηλεμάχοιο. ψεύδεα πάντα τέτυκται·
αὐτὸς γὰρ συνάγειρεν Ἀχαιῶν πάντας ἀρίστους.
ταῦτα δέ τοι ἐρέω νημερτέα, ὥς περ ἐτύχθη.
Ἀργείοις περόωσιν ἀπ' Ἄργεος οἶδμα θαλάσσης,
ἐς Τροίην ὅτ' ἔπλωον, φαίνετο σήματα πολλά,
σκηπτοὶ ἐριφλεγέες μεγαλοσμάραγοι βρονταί τε,
ἴριδες ἠδὲ κομῆται λεῖψίς τ' ἠελίοιο·
καί τά γε θυμῷ τρείεσκον πάντες Παναχαιοί.

293. τέρατα Aug. Par. 295. ἔρεξε Vat. ἔρεζε vg. 296. πάντα coniic. Schirachius. 301. ἀπ' ἄλλων Par. Vat. ἀπάντων vg. 302. οὕνεκά Par. οὕνεκεν vg. 306. ἄχθεος Vat. 307. αὖθις coniic. Heynius. 314. λείψεις coniic. Tryllitschius.

αὐτὸς δ' αὖ Παλαμήδης ἐκ δέος εἵλετο πάντων,
φήσας οὐκ Ἀργείοις, Τρωσὶ δὲ σῆμα κακοῖο·
πάντα γὰρ ἀντολίηθεν ἐφαίνετο σήματα ταῦτα.
πρὸς δέ τε μάντις ἔειπεν, ἀληθέα πάντα πιφαύσκων.
πεσσὸν δ' αὖ καὶ γράμματα δεύτερον εὗρεν Ἀχαιοῖς.
καὶ τότε τὸν κυδαίνεσκον δῖοι Παναχαιοί.
καί τά γε θυμὸν ἔκναιον ἀριστοφόνου Ὀδυσῆος.
Αὐτὰρ ἐπεὶ ἀπὸ Μυσῶν ἐς κλισίας κατέβησαν,
Τηλέφῳ ἠδὲ καὶ ἄλλοις σπεισάμενοι βασιλεῦσιν,
ἐξ ὀρέων λύκοι ἐς κλισίας κατέβαινον Ἀχαιῶν,
δμῶας ἀναρπάζοντες ἰδ' οὐρῆας. αὐτὰρ Ὀδυσσεύς,
ᾧ θυμῷ ποθέων Παλαμήδεϊ ἀντιφερίζειν,
μακρὰ βοῶν ἀνέβαινε παρ' οὔρεα, θῆρας ἐρύξων,
τοξοφόρους πολέας κούρους φορέων Παναχαιῶν,
νήπιος, οὐδ' ἐνόησε τὸ σῆμα πέλον λοιμοῖο.
τοὺς δὲ ἰδὼν Παλαμήδης μειδιόων προσέειπεν·
Ὦ Ὀδυσεῦ πολύβουλε, σὺν ἀνδράσι τοξοφόροισι,
τίπτε λύκοισι μάχην παναφραδέα τήνδε φορεῖτε;
οὔ νυ λύκοι, σχέτλιοι, παρὰ οὔρεσι καὶ πάρος ἦσαν;
ἀλλά τίς αὐτῶν Ἀργείους δηλήσατο πρόσθε;
λοιμοῦ σῆμα τόδ' ἐστίν· ἐᾶτε δὲ τόξα καὶ ἰούς,
ἐν λαχάνων βελέεσσι δ' ἐρύκετε λοιμοῦ ἐρωήν,
μηδὲ κρεῶν γεύεσθε, καὶ εἰς ἅλα βαίνετε πάντες.
Ὣς ἔφαθ'· οἱ δέ τε πάντες ἐποίεον, ὡς ἐκέλευεν·
μοῦνος δ' αὖ Ὀδυσεὺς ἐν ἐπεσβολίῃσιν ἄτιζεν.



319. πιφάσκων Vat. 322 ἔκναιον Vat. ἴκναιεν vg. 330. λιμοῖο Vat. 337. βελέεσσιν ἐρύκατε vg. 340. ἐν] ἑ coniic. Heynius.

λοιμοῦ δ' αὐτίκ' ἐπεισφρήσαντος ἐπ' ἄστεα Τρώων,
αὐτοὶ ἀσινέες ἐκ κακοῦ ἔκφυγον οἷοι ἀπ' ἄλλων.
καὶ τότε δὴ Παλαμήδην ὡς θεὸν ἦσαν ἄγοντες.
Αὐτὰρ ὁ ἐχθρὸς ἀνήρ οἱ ἐμήδετο κῆρα μέλαιναν,
καὶ κτάνεν, οὐδ' ἀφάμαρτε, δολοφροσύνῃσι νόοιο.
ἤτοι γὰρ Παλαμήδης πόρθεεν ἄστεα Τρώων
σὺν γ' Ἀχιλῆϊ, ἕλον δὲ ἐείκοσι τρεῖς τε πόληας.
ἐκ τάων κειμήλια πολλὰ φέρον Παναχαιοῖς
ἠδὲ γυναῖκας πολλὰς Χρύσου τ' Ἀστυνόμειαν.
αὐτὰρ Ἀχιλλεὺς Ἱπποδάμειαν ἕλε Βρισῆος,
οἷος ἀπ' ἄλλων Ἀργείων, καὶ ἔχεσκε παρ' αὐτῷ.
ἀλλ' ἄρα τῶν ἀΐοιτε κοράων εἶδος ἐρατόν.
Χρυσηῒς μὲν ἔην τυτθή, λεπτή, γλαγεόχρους,
ξανθοκόμης, μικρόμαστος, ἐτῶν δέκα ἐννεάδος τε,
παρθένος ὡραίη. Βρισηῒς δ' Ἱπποδάμεια
μακρὰ ἔην, λευκή, μελανόθριξ, οὐλοέθειρος,
καλλίμαστος ἰδ' εὔστολος, εὖρις, καλλιπάρηος,
φαιδρὸν μειδιόωσα, σύνοφρυς δ' εἴδετο ἔμπης.
ἐν δὲ Μύνητος ἔην γυνή, ὃς βασίλευε Λελέγγων.
εἰκοσάτου πρώτου δὲ χρόνου τότε τήνδε ἰοῦσαν
Αἰακίδης ἀπάτερθεν Ἀχαιῶν κάσχεθεν οἴκοι·
οἱ δὲ βαρυφρονέοντες Ἀχιλλεῖ ἀγριάασκον.
καὶ τότ' Ὀδυσσεὺς Ἀτρείδην προσέειπεν ἄνακτα·

342. ἔφυγον Aug. 347. σύν γ' Par. σὺν δ' Vat. σὺν vg. Particulam δὲ omittit Vat. πόλιας Vat. 348 φέρων Vat. 354 ξανθοκόμης Par. ξανθοκόμη vg. 359. ἡ δὲ coniic. Heynius. Μύνατος Par. Μίνητος vg. λελέγων Par. 360. εἰκοσέτου vg. πρώτου Par. πρωάτου vg. 361. οἴας Vat.



Digitized by Google

Ἀγνώσσεις τάδε δὴ Παλαμήδεος ἔμμεναι ἔργα,
ὅς σὰ σκῆπτρα παρείρεται ἠδ' Ἀχιλῆϊ διδίσκει;
ἀλλ' ἄγε, σὺ βασίλευε, ἀτὰρ Παλαμήδεα πέφνον.
Ὣς φάτο οὔλιος ἀνήρ· τῷ δ' ἐφεήνδανε βουλή.
καὶ δὴ Τρῶα κατέσχεθον, ᾧ περ ἔειπον γράψαι,
ὅσσα κεν ἂν Πρίαμος Παλαμήδεϊ γράψε φιλοῦντι.
αὐτὰρ ἐπεὶ γράψαν, Παλαμήδεος εὐνῇ ἔθεντο,
δμῶα δαλώσαντες δώροις Παλαμήδεος ἐσθλοῦ.
καὶ τότε τόνδε ἄγουσι παρὰ κλισίας ἀπὸ Λέσβου,
μῆχαρ ἑλέπτολι ὡς δῆθεν καλέοντες ῥέξαι,
χωρίζουσι δὲ ὡς ἀπ' Ἀχιλλῆος μεγαθύμου.
οὗτος δ' αὖ προσέειπε παρ' Ἀτρείδῃσι μολήσας·
Εἰ μὲν μῆχαρ ἑλέπτολι δίζησθ', Ἀτρείωνε,
εἰσί τοι Αἴαντες δοιοί, πολέων ὀλετῆρες·
εἰ δ' ἀπ' ἐμεῖο χερῶν ἄλλο ποθέεσκετε μῆχαρ,
αὐτίκα Τροίη ἕτοιμος ἐμῷ ἐνὶ μήχεϊ κεῖσθαι.
Ὣς φάτο· οὐδ' ἐγίνωσκε, τὰ δὴ προέτευξαν ἐκεῖνοι.
αὐτίκα γὰρ δὴ ψευδέα γράμματα ἐξαγαγόντες
ἰλλάσιν αὐτὸν ἔδησαν, Ἑλλάδος ὡς προδοτῆρα,
κὰδ δὲ Μυκηναῖοι κτείνουσι Κεφαλλῆνές τε
βάλλοντες λιθάδεσσιν. ὁ δ' ἔστενε, ταῦτα πιφαύσκων·
χαῖρε, Ἀλήθεια κυδρή! πρόθανες γὰρ ἐμεῖο.
Ὣς ὁ μὲν ἔκθανεν, ἄλλοι δ' αὖ μύροντο Ἀχαιοί

367. τῷ δὲ γ' ἐφήνδανε Par. 370. θέντο Vat. 372. περὶ Par. 373. ἑλεπτόλεων codices omnes. Correxit Jacobs. 374. δὲ ὡς Par. δ' ὡς vg 375. Ἀτρείδῃσι Vat. Ἀτρείδαισι vg. 377. Malim πόλεων. 378. ἐμοῖο vg. χειρῶν Aug. χειρῶν τε Vat. ποθέσκετε Aug. Vat. 379. μήχει vg. 380. προέτευχον Par. Vat. 384. τάδε πιφαύσκων Vat. 385. ἐμεῖο Vat. ἐμοῖο vg.

σιγῇ, πάντες δειδιότες χόλον Ἀτρείδαο·
οὐ γὰρ θάπτειν εἴα ἑ, οὔτ᾽ ἄρα δάκρυα λείβειν,
φὰς θανέειν τὸν θάψαντα καὶ ἄκλαυστον ἐσεῖσθαι.
Αἴας δ᾽ ὡς ἐνόησεν ἑταῖρον τόνδε πεσόντα —
ἐγγύθι γὰρ Σαλαμίς τε καὶ Εὔβοια, τῶν πάτραι —,
οἰμώξας μέγα καὶ ἄορ ἑλκύσας παρὰ μηροῦ
βαῖνε μέσον Παναχαιῶν, ἐν δὲ κέδασσε βολῆας,
αὐτὸς δὲ κλαίεσκεν ἀδινά, πεσὼν περὶ νεκρῷ,
ἐν δὲ κόμην προθέλυμνον τίλλεν, ἀπὸ κρατὸς ἕλκων,
θάψε δὲ τὸν φιλέων, κλαύσας, ἀέκητι ἀνάκτων.
Ἀλλ᾽ ἤτοι μορφὴν τοῦδ᾽ ἀνέρος ἐξερέεινω.
μακρός, λευκὸς ἔην, ξανθόθριξ, πιναροχαίτης,
μάκροψις, ῥαδινός, Σοφίης ἰδ᾽ Ἄρηος ὑποδμώς.
ξανθοκόμης δ᾽ ἄρ᾽ ἐὼν καταείδετο πιναροχαίτης,
οὕνεκεν οὐκ ἀλέγιζε κομάων οὐδὲ βλακείης,
ἀλλ᾽ ἄρ᾽ ἐνὶ κονίῃσιν ἀρήϊον ὕπνον ἴαυεν,
μελδόμενος κρατεροῦ πολέμοιο λόχων τε φαλάγγων,
λαῶν θ᾽, οἵ οἱ ἕποντο, ὅπως σώοιτο ἕκαστος·
ταῦτα γάρ οἱ ψυχῆς δόκεε κρείσσω κομέων τε.
τὸν δ᾽ Ὀδυσεὺς ἔκτεινε δόλοις, κτερέϊξε δ᾽ ἄρ᾽ Αἴας.

389. ἔσεσθαι vg. (Cf. Posthom. 614.) 393. ἐκ legendum putabat Jacobs. 394. περὶ Par. παρὰ vg. 401 ἀλέγιζεν vg. 403. Sic Par. Ceteri enim cum vg. omissa voce κρατεροῦ post φαλάγγων addunt alterum τε. 405. μορφῆς malebat Jacobs. 406. ἔκτανε Vat.

Digitized by Google

Digitized by Google

# ΙΩΑΝΝΟΥ ΓΡΑΜΜΑΤΙΚΟΥ

ΤΟΥ ΤΖΕΤΖΟΥ

ΤΑ ΟΜΗΡΟΥ.

Digitized by Google

Digitized by Google

Αὐτὰρ ἐπεὶ τό γ' ἄκουσεν Ἀχιλλεὺς ὀβριμόθυμος,
ὡς Βρισηΐδος εἵνεκα τοιάδε ἔργα γένοντο,
δάκρυε μὲν Παλαμήδεα, τὴν δ' ἐφέηκεν Ἀχαιοῖς,
αὐτὸς δ' αὖτ' ἀπέπαυσε μάχης πολέμοιό τε πάμπαν.
πρὸς δέ γε λοιμὸν Ἀπόλλων, ἥελιος μέγας, ἧκεν
θνῆσκον δ' Ἀργεῖοι, Παλαμήδεος οὐκέτ' ἐόντος,
ὃς λοιμούς τε πρόφασκε καὶ ἀλθεστήρια τούτων.
Τρῶες δ' ὡς ἔμαθον λοιμόν τε χόλον τ' Ἀχιλῆος,
οὐκέτι πύργων ἔνδοθι οὐδὲ πόληος ἔμιμνον,
ἀλλ' ἄρα προφρονέως πυλέων πετάσαντες ὀχῆας
ἄχρι νεῶν κατέβαινον ἰδ' Ἀργείους ἐδάϊζον.
οἱ δ' ἄρα δαμνάμενοι λοιμῷ καὶ χείρεσι Τρώων,
ἐξ ἀπάταισιν ὀνείρου πανσυδίῃ ἐχέοντο,
Τρωσὶν ἐναντίβιον πολεμίζειν ἱμείροντες.
Σπεισαμένοισι δ' ἔδοξε δύο προμάχεσθαι ἁπάντων,

2. τοιάδ' Aug. 10. προφρονέων Aug. 13. ἐξ ἀπάταισιν Vat: ἐξαπάταισιν vg. 15. σπεισάμενοι Aug. ἀπ' ἄλλων Vat.

ὃς δ' ἂν νικήσῃ, Ἑλένην φορέειν σὺν ἑταίροις·
ἐκ δ' ἔθορε Τρώων Πάρις, Ἀργείων Μενέλαος.
ὡς Πάρις ἡττήθη δέ, Τρῶες ὅρκια χεῦον·
αὐτίκα γὰρ Μενέλαον Πάνδαρος ἔμβαλεν ἰῷ.
οὐδ' ἔλαβεν κῦδος, δόξης δ' ἀπόεργεν ἑαυτόν·
τὸν μὲν γὰρ Μαχάων ἰήσατο, φάρμακα πάσσων,
Τρωσὶ δὲ καὶ Τροίῃ καὶ Πανδάρῳ ἔπλετο πῆμα.
τόξα γάρ οἱ ἐρύοντι κακάγγελος ἤλυθεν αἶσα,
ἀστὴρ παμφανόων, σῆμα πολέμοιο, κομήτης,
Ἀθηναίη Ὁμήρου, τήν ῥα Ζεὺς προΐαλλεν.
Ἐν δὲ θεοὶ ἀλλήλους ὥρων ἤματι κείνῳ,
ὀκρυόεις Κρόνος ἠδέ τε Ἄρης ὀβριμόθυμος,
οἵ ῥά τε δόξης αἰζηοὺς πολέμων ἀπόεργξαν,
αὐτοὺς δ' αὖ κατέπεφνον, σφῶν δὲ πόληας πέρσαν,
εἴ κεν ἐπ' ἤματι τοίῳ ἀριστεύειν ποθέωσιν,
ὅτε χρονοκράτορα θάτερος θάτερον ποιήσει,
ἣν ἀρχὴν ὀπάσας, ἢ οἴκοις ἀντιάσειεν
ἢ θάτερος θατέρου ἠὲ Κρόνος Ἠελίοιο.
ὡς τότε εἰσορόωντες Τροίῃ κήδεα τεῦχον.
Αὐτίκα γὰρ ὤρουσαν Ἀχαιοί, τε Τρῶές τε
ἀλλήλοισι μάχεσθαι, πυκνὰ δὲ πῖπτε κάρηνα·
Ἀντίλοχος γὰρ ἔπεφνε Θαλυσιάδην Ἐχέπωλον,
Ἀγήνωρ δ' Ἐλεφήνορα Τρώϊος ἔκτανεν ἀνήρ,
Αἴας δ' αὖ Σιμοείσιον Ἀνθεμίδην ἐνάριξε,

17. ἐκ δ' ἔθορε Par. ἔκθορε δ' ἐκ Vat. ἐκ δ' ἔθορ' ἐκ vg. 18. τρῶες θ' Vat. 19. Μενέλαος Πάνδαρον Aug. 28. πολέμων Vat. πολέμου vg. 29 σφῶν] τῶν Aug. 30. ποθέωσιν Vat. ποθέουσιν vg. 34. κήδε' ἔτευχον Vat. 35. ὤρουσιν vg.

Digitized by Google

Λεῦκον δὲ Πριάμοιο πάϊς νόθος Ἄντιφος εἷλε,
Δημοκόωντα δ' ἐνήρατ' Ὀδυσσεὺς Δαρδανίωνα,
ἐκ δὲ βίου Δαναὸν ἀπόεργε Διώρεα Πείρως,
τοῦ δὲ Θόας Αἰτωλὸς ἐν ἄορι θυμὸν ἀπηύρα.
Ὡς τῶν μαρναμένων Διομήδης ἔνθορε μέσσον,
τεύχεσι λαμπόμενος πυρὶ τεχνήεντι ἀφλέκτῳ,
οὐχ οἷον φλογέεσκε Συρηκοσίοιο κατόπτρου,
τῷ ῥ' Ἀρχιμήδης φλόγα εἵλκυσεν ἠελίοιο,
πρῆσε δὲ Μάρκου Μαρκέλλου νέας Αἰνεάδαο·
οὐ τοῖον Διομήδεος ἔφλεγε πῦρ ἀπὸ ὅπλων,
ἀφλεγέως δ' ἀμάρυσσεν ἀπαστράπτων σελάεσσιν,
οἷά τε Σείριος ἀστὴρ σκύλακος Ὠαρίωνος.
τοῖον τεύχεσι λαμπόμενος μέσον ἔνθορε χάρμης.
Φηγέα δ' αὖτε πρῶτον ἐνήρατο, υἷα Δάρητος,
ὅς ῥα τέχνης πυριεργέος ᾔδεε δαίδαλα ἔργα,
τοὺς ἱερῆας Ὅμηρος Ἡφαίστοιο κικλήσκει.
οὗτος μὲν τὸν ἐνήρατο· αὐτὰρ οἱ ἄλλοι Ἀχαιοί,
Ἀτρείδης Ὀδίον πέφνεν, Ἰδομενεὺς δ' ἄρα Φαῖστον,
πὰρ δὲ Σκαμάνδριον εἷλεν ἀκειρεκόμης Μενέλαος,
Μηριόνης Φέρεκλον, Πηδαῖον δ' αὖτε Φυλείδης.
Εὐρύπυλος δ' Ὑψήνορα τὸν Δολοπίονος ἔκτα,
τὸν ἱερῆα Σκαμάνδρου κάλεον, ἰχθυόωντα
ἀργυρέης δίνησιν ἐπ' εὐρείτου ποταμοῖο.

40. ἀντίλοφος Vat. 42. ἀπέεργε Par. 43. ἄερι Vat. ἀέρι Aug. 46. συρακουσίοιο Aug. Vat. 50. δ' deest vg. ἐπα-στράπτων Vat. ἀπαστράπτων Aug. Par. ἀπαστράπτον vg. 52. ἔνθορε Aug. 54. περιεργέος Vat. 56. μὲν τὸν] μέν τοι vg. 59. μηριόνης δὲ Par. 60. Υψήνορα Vat. Ἀγήνορα vg. Cf. Iliad. 5, 67. 62. ἀργυρέαις Par. εὐρείτου Vat. εὐρύτου vg.

Digitized by Google

Πάνδαρος αὖ Διομήδεος ὦμον χράυσεν ἐν ἰῷ.
Καὶ τότε Τυδείδης Τρώεσσιν ὄλεθρον ἐφίει·
κτεῖνε γὰρ Ἀστύνοον καὶ Ὑπήνορα, ποιμένα λαῶν,
παῖδάς τ' Εὐρυδάμαντος, Ἄβαντά τε καὶ Πολύϊδον.
ἔκτα δὲ Φαίνοπος υἱούς, Ξάνθον τ' ἠδὲ Θόωνα·
πὰρ δ' ἄρ' Ἐχέμονα καὶ Χρόμιον Πριάμου πέφνεν υἷας,
σὺν ἄρα Πάνδαρον ὁρκοσφάλτην, ἠπεροπῆα.
πρὸς δ' ἔτι κεῖνον, τὸν τέκε βουκολέων Ἀγχίσης,
Αἰνείαν, ἀπάραξε βαλὼν λίθῳ ὀκρυόεντι·
τὸν δὲ φυγῆς ἐπιθυμίη ἐξεσάωσε φυγόντα
νηῷ ἐν ἠγαθέῳ πανδερκέος ἠελίοιο,
ἔνθα ε Τυδείδης κατοπάζων ἐκβοάασκεν·
εἶκε, γυναιμανές! οὐκέτι ἀντιάσειας χάρμης·
οὐτάσαι οὗ ἕνεκα φήμιξαν χεῖρ' Ἀφροδίτης,
ὅττι μιν ἐσσύμενον πολέμου ἀπέπαυσεν ἐρωῆς.
Καὶ τότε Σαρπηδὼν Τρῶας μαχέεσθαι ἔγειρεν.
πρῶτος δ' αὖτ' Ἀγαμέμνων Δηϊκόωντα ἔπεφνεν,
Αἰνείας δὲ Κρήθων' Ὀρσίλοχόν τε κατέκτα,
τραύματ' ἀκεσσάμενος, τά τε Τυδείδης προΐαψεν.
καί νύ κε καὶ Μενέλαον ἀντιόωντα κατέκτα,
εἰ μὴ Νέστορος υἱὸς ἀρήϊος ὦκα παρέστη·
Αἰνείας δ' ὑποέτρεσε, τοὶ δ' ἕλον ἄνδρας ἀρίστους.
Ἀτρείδης μὲν πρῶτα Πυλαιμένεα βασιλῆα,
Ἀντίλοχος δὲ Μύδωνα κατέκτανε, λᾶϊ τυχήσας.
Ἕκτωρ δ' αὖ σὺν Ἄρηϊ, ἑῷ πολεμήτορι θυμῷ,

65. ὑπείρονα Vat. 66. δ' vg. Πολύειδον vg. 68. ἐχέδμονα Par. ἐχαίμονα Aug. 71. ὀκριόεντι vg. 77. ἐπισσύμενον Aug. Par. Vat. Correxit Schirachius.

πρῶτα Μενέσθην τε καὶ Ἀγχίαλον σφαράγισσεν.
Αἴας δ' Ἄμφιον υἱὸν ἐξενάριξε Σελάγου,
ἀντία μαρνάμενος Τρώων καὶ Ἕκτορος οἶος.
Σαρπηδὼν δὲ Τληπόλεμον κατενήρατ' Ἀχαιῶν,
ἠνορέῃ κομόωντα, φίλον γόνον Ἡρακλῆος.
καί νύ κε δὴ σὺν τῷ ψυχὴν ἐκάπυσε καὶ αὐτός,
τοῖο ἀπὸ ζώοντος βληθεὶς ἔγχεϊ μακρῷ·
ἀλλ' οὐ μόρσιμος ἦν· τῷ ὀλέθριον ἔκφυγεν ἦμαρ.
Ἔνθ' Ὀδυσεὺς Λυκίοισι κακὰς ποτὶ κῆρας ἴαλλεν,
Κοίρανον, αὐτὰρ Ἀλάστορα καὶ Χρόμιον καταπέφνας,
ἄλκανδρόν θ' Ἅλιόν τε Νοήμονά τε Πρύτανίν τε.
Ἕκτωρ δὲ Τρῆχόν τε καὶ Οἰνόμαον καὶ Ὀρέστην,
Τεύθραντ' ἠδ' Ἕλενον καὶ Ὀρέσβιον ἐξενάριξεν.
ἀλλ' ὅτε καὶ Περίφαντα ἑῷ θυμῷ, Ἄρεϊ, πέφνεν,
Τυδείδης ἵππους ἐλάσας πέλας ἤλυθε τοῖο,
τρῶσε δ' ἄρ' ἐς κενεῶνα ἀρήϊα μαιμώωντα.
Τρῶες δ' ὡς οὖν εἶδον πληγὴν καίριον οὖσαν,
σμερδαλέον σμαράγησαν, ἐπέβραχε δ' οὔρεα Ἴδης·
τοῖος γάρ τε ἔμελλεν ἀνὴρ θανέειν παρὰ μοῖραν.
Αὐτὰρ ἐπεὶ Τυδείδου Ἀθηναίη τε καὶ Ἥρη
Ἕκτορος Ἄρεα, θυμόν, ἔπαυσαν δηϊότητος,
νόσφι θεῶν Τρῶές τε καὶ Ἀργεῖοι ἐμάχοντο·
οὐ γὰρ ἔχον μένος Ἕκτορος οὐδὲ δόλους Διομήδεος,
ἀλλ' ἀδόλως ἐμάχοντο. πέφνον δὲ Τρῶας, Ἀχαιοί,

88. τε] εἶτα coniic. Tryllitschius. σφαράγισσεν Vat. σφαράγισεν vg. 91. Ἀχαιὸν malebat Heynius. 92. υἱὸν φίλον vg. 93. δὴ σὺν τῷ Vat. δὲ σὺν αὐτῷ Aug. σὺν αὐτῷ Par. σὺν δ' αὐτῷ vg. ἐκάπυσσε vg. 95. μόρσιμος Vat. μόρσιμον vg. 103. μαιμώοντα Vat.

Digitized by Google

Αἴας μὲν Τελαμώνιος Εὐσώρου Ἀκάμαντα·
Ἄξυλον ἠδὲ Καλήσιον εἷλε πάϊς Τυδῆος·
Δρῆσον δ' Εὐρύαλος καὶ Ὀφέλτιον ἐξενάριξεν,
Αἴσηπόν τ' ἰδὲ Πήδασον, υἱέε Βουκολίωνος·
Πιδύτην δ' Ὀδυσεύς τε καὶ Ἀστύαλον Πολυποίτης,
Ἀντίλοχος δ' Αὔληρον, Τεῦκρος δ' αὖτ' Ἀρετάονα.
Λήϊτος αὖ Φύλακον Βοιώτιος ἔκτανεν ἥρως,
Εὐρύπυλος δὲ Μελάνθιον, Ἀτρείδης δ' Ἔλατον πέφνε
ἠδ' ὅν περ Μενέλαος ἕλε ζώοντα, Ἄδρηστον.
Ἕκτωρ δ' αὖθ' Ἑλένοιο φραδαῖς ποτὶ Ἴλιον ἦλθε,
πόρτιας ἐξερέων δύο καὶ δέκα ῥέξαι Ἀθήνῃ.
Τυδείδης δ' ἐσπείσατο Γλαύκῳ Ἱππολόχοιο,
χάλκεα δ' ὅπλα ἄμειψε, καὶ εἵλετο χρύσεα τοῖο·
Ζεὺς γάρ τε φρένας ὀλβιοδώρου κύδανε Γλαύκου,
ὡς κεν ἀεὶ κλέος ἄφθιτον ἔσται ξεινοσυνάων.
Ἕκτωρ δ' ὡς ἐπέτειλε Τρωάσι ῥέξαι Ἀθήνῃ,
βῆ ῥ' ἴμεν ὀτρυνέων καὶ Ἀλέξανδρον πολεμίζειν.
αὐτὸς δ' Ἀνδρομάχην τε καὶ υἱέα Ἀστυάνακτα
ἀρτιφρόνων πραπίδων ἀγανοῖς βουλεύμασι θέλξας
ῥώετ' ἀπὸ πτόλιος σὺν Ἀλεξάνδρῳ ποτὶ χάρμην.
Ἔνθ' ἄρ' Ἀλέξανδρος μὲν ἔπεφνε Μενέσθιον ἔγχει,
Ἕκτωρ δ' Ἠϊονῆα, Ἰφίνοον δὲ Γλαῦκος.
Αἴας δ' ἐκ προκλήσιος Ἕκτορι δῆριν ὀρίνας,
νικήσας νίκης ἐριγηθέος εἵλετο δῶρα

115. υἷε Aug. 119. ἔλατον] ἔγχει Par. a correctore. (Cf. Antehom. 78. Hom. 57. 68. 111.) 121. ποτὶ Par. πό-τι vg. 126. ξυνοσυνάων Par. ξυνοσυνάων Aug. 130. ἀγανοῖς Aug. 131. χάρμα Par.

νῶτα βοὸς μεγάλοιο, τά οἱ τότε δῶκεν Ἀτρείδης.
Ὦ σχέτλιοι μέροπες, κακοφραδέες, ἀγριόθυμοι,
οἳ νείκους μὲν τίετε εἴδωλ' Ἐμπεδοκλείου,
χωλούς τε ῥυσσούς τε παραβλῶπάς τ' ὀφθαλμώ,
ἀνέρας ἡμιθέους δὲ τοίοις τίετε δώροις,
ἢ βοὸς ἢ ὄϊος ἢ ὄρνιθος μελέεσσιν.
οἷσι κἀμὲ καὶ ἄκων δειδίσκετο οὔλιος ἀνήρ,
ᾧ πρὶν ἐγὼ θήτευσα, κατηφὼν Ἰσαάκιος,
ἠδ' ἄλοχος κείνου περικερδής, ἀγκυλόβουλος,
δειδιότες ἀμὴν ἀγέρωχον καλλιέπειαν.
τίμων δ' ἀφρονέοντες, ὅσοι τοῖς αἴσχεα ἦσαν,
λεπροί, ψεδνοκάρηνοι, ἀΐδριες, ἄχθεα γαίης,
οὕνεκα τῇ πείθοντο παρὰ κρυφίοις λεχέεσσιν,
οὐδ' ὡς ἄλλοι ἀνήναντ', οἳ περιώσιον ᾖσθεν,
καὶ ἐσθλοί περ ἐόντες· σωφροσύνη δ' οὐ χραῖσμεν.
ἀλλά νυ τοῖσι Δίκη καὶ ὑστάτιόν περ ἀρήξει,
αὐτὰς δ' αὖτ' ὀλέσει, πολεύνους, κλεψιγαμούσας,
χρυσόκερώς τε πόσεις, οἳ λωΐα οὐχ ὁρόωντες,
πειθόμενοι δολίῃσιν ἑαῖς ἐχίδναις ὁμολέκτροις,
τούτων μὲν κυδαίνουσι κρυφίους ὀαριστάς,
καὶ λεπρούς περ ἐόντας, ἀΐδριας, ἄχθεα γαίης,
ἀνέρας ἡμιθέους δέ, ἀριπρεπέας περὶ πάντας
καὶ γενεῇ καὶ εἴδεϊ ἠδὲ λόγοισι καὶ ἔργοις,
οὕνεκεν οὐ κακοί εἰσιν, ἀτίουσ' ἀφρονέοντες,

139. ὀφθαλμῶν Aug. Vat. 142 κἄμ' ἀέκων coniic. Jacobs. 143. δούλευσα Vat 144. ἡ δ' Par. 145. ἀμὴν Vat. ἀκὴν vg. 146. συνῳδὰ φρονέοντες Par. 147. ψεδνοκάρηνες vg. 149. ἀσθενόν Par. 152. αὖ vg. 153. πόσις Par. 157. πάντα Vat. 159. ἀτίζουσ' Par.

ὡς τότ' Ἀτρείδης, οὐδενὸς ὥρας τίων ἄλλους,
Αἴαντα ταύροιο βοὸς νώτοισιν ἐτίμα,
Ἕκτορα, μέρμερον ἐχθρόν, νικήσαντ' ἐνὶ χάρμῃ.
Ἀντήνωρ δ' Ἑλένην φάτο δοῦναι Τρῶας Ἀχαιοῖς·
μηδ' εἰκαῖα μάχεσθαι, ὅρκια δηλήσαντας·
δῶρα δ' Ἀλέξανδρος φάτο, οὐχ Ἑλένην ἀποδοῦναι.
Ἰδαῖον δὲ Τρῶες ἐπ' Ἀργείους ἐφέηκαν,
εἰπέμεναι τάδε, ὥς τε νεκροὺς ἐάσειαν θάψαι.
οἱ δὲ τάδ' οὐκ ἔθελον, ἄμφω δὲ νεκροὺς κτερέϊξαν.
Καὶ νηῶν ἔρυμα, πύργους, ποίησαν Ἀχαιοί,
Νέστορος ἐν βουλαῖσιν· ὁ γὰρ περίοιδε νοῆσαι.
Ζεὺς δὲ τότ', οὐρανός, ἀργυφέας νεφέλας στυφελίζων
βρόντα χωόμενος, κακὰ δ' Ἀργείοισιν ἐδείκνυ.
κυδιόων δ' ἀγόρευε θεοῖς κρατερώτατος εἶναι,
οὕνεκεν οὐρανοῦ ἐν κινήσει πάντα φορεῖται.
Ἀργεῖοι δὲ Τρωσὶν ὑπέτρεσαν ἡττηθέντες
Νέστορα δ' Ἕκτορος ἐξεσάωσεν ἄναξ Διομήδης·
κτεῖνε δ' ἄρ' Ἕκτορος ἡνίοχον, ταχὺν Ἠνιοπῆα.
αὖθις δ' αὖτ' Ἀγέλαον ἔπεφνε τάφροιο ὀρούσας,
αἰετὸν ὡς ἐνόησε νεβρὸν ῥίψαντα ἔραζε.
πέφνον δ' ἄλλοι ἄλλους Ἀργείων βασιλῆες.
Τεῦκρος δ' αὖτε δέκα κτείνας τόξοιο βολάων,
ὑστάτιον βλῆθη λίθῳ Ἕκτορος, ἦχθη δ' ἐς νέας.
Τρῶες δ' Ἀργείους ἔλασαν παρὰ τάφρον Ἀχαιῶν.

ἀλλ'

160. οὐδὲ νύσῳ ῥαστίων vg. Verum quid esset, vidit etiam Heynius. 164. δηλήσαντες libri omnes. 167. εἰάσειαν Aug. 170. περὶ οἶδε vg. 175. ἐπέτρεσσαν Vat. 177. γὰρ vg. 179. νεκρὸν Par. 181. βολάων Vat. βαλὼν vg.

Digitized by Google

ἀλλ᾽ ὅτε τοὺς ἀπέπαυσε νὺξ ἀνδροκτασιάων,
καίοντες πυρὰ φεύγειν ἐξαπόεργον Ἀχαιούς.
χίλια ἦν πυρά, πεντήκοντα δὲ ἄνδρες ἑκάστῳ.
Ὣς ἐφύλασσον Τρῶες. Ἀχαιοὶ δ᾽ αὖτε δαμέντες
πρέσβεσι Πηλείδην λιτάνευον· ὁ δ᾽ αὖτ᾽ ἀπέειπεν.
Τυδείδης δ᾽ Ὀδυσεύς τε κατάσκοποι ἦκον Τρώων·
κτείναντες δὲ Δόλωνα, δυώδεκα Θρῆκας, Ῥῆσον,
αὖτις ὑπέστρεφον, ἵππους Ῥήσου τοῖο λαβόντες.
Αὐτὰρ ἐπεὶ ἁγνὸν ἐξεφάνη φῶς Ἠριγενείης,
πολλοὺς κρείων Ἀτρείδης κατα'έκτανε Τρώων.
καὶ τότε τὸν ἀπέπαυσε Κόων, δορὶ χεῖρα τορήσας,
Σῶκος δ᾽ αὖτ᾽ Ὀδυσῆα, τὸν Αἴας ἐξεσάωσεν.
αὐτὰρ Ἀλέξανδρος κεραελκέα τόξα ἐρύων
Τυδείδην βάλεν ἠδὲ Μαχάονα Εὐρύπυλόν τε.
Νέστωρ δ᾽ ὡς φορέεσκε Μαχάονα ἰητῆρα,
Πάτροκλον ἧκεν Ἀχιλλεὺς ἐξερέοντα, τίς εἴη·
ὃς δὴ Νέστορος ἐκ κλισίης παλίνορσος ὀρούων
Εὐρυπύλου βεβολημένου ἄγριον ἕλκος ἀκεῖτο.
Τεῖχος δὲ Τρῶες Δαναῶν ἕλον, οἱ δὲ φέβοντο.
τοὺς δ᾽ Ἐνοσίχθων Ἀργείους ἐσάωσε Ποσειδῶν,
πολλὰ δ᾽ ἀπ᾽ ἀμφοτέρωθε κάρηατα πῖπτον ἔραζε.
καὶ τότ᾽ Ἀτρείδης καὶ Νέστωρ σὺν τραυματίαισιν
ἐς πόλεμον κατέβαινον· ἐρίβρομος ἦν γὰρ ἰωή.
Ἦρι λεπταλέος δὲ ἀὴρ πυρόεις, ἀνορούσας,

184. ἀπέπαυσεν Par. 185. ἀπόεργον vg. 186. ἑκάστῳ Vat. ἑκάστη vg. 192. Ἠριγενείης Vat. Ἠριγενείας vg. 196. κεραελκὲς τόξον vg. 200. ὃς] καὶ Par. 204. πίπτον Vat. πίπτεν vg. 207. δ᾽ vg.



Digitized by Google

κράσιος, Ἀφροδίτης, παντερπέα κεστὸν ἔλουσα,
ὀμβροφόρων νεφέων ἀνεμώδεας ἤλασεν ὁρμάς,
εἶαρ δ' ἀνθεμόεν ποιητρόφον ἐξεφαάνθη,
πάμπαν δ' οὐ κατάεσχε, μετάτροπος ἤθελε δ' εἶναι.
τοὔνεκα λάθριον Ἥρης κοίτην φημίξαντο
ὕπνον τε Ζηνός. νίκων δὲ Τρῶας Ἀχαιοί,
Αἴας δ' Ἕκτορα χάρμης παῦσε λίθου ὑπ' ἐρωῆς.
κραιπνοσύνῃ δὲ ποδῶν Λοκρὸς ἔκτανε νήριθμον ὄχλον.
Αὐτὰρ ἄρα Ζεὺς ἐγρόμενος κακὰ τεῦχεν Ἀχαιοῖς·
Ἕκτορα γάρ τ' ἀνέγειρε βεβλημένον, αἷμ' ἐμέοντα,
ὅς πολέας ὀλέσας νέα πρῆσε Πρωτεσιλάου.
Καὶ τότ' Ἀχιλλεὺς Πάτροκλον ἧκεν ἀμῦναι Ἀχαιοῖς,
ὃς πολέας ὀλέσας, Σαρπηδόνα τε Διὸς υἱόν,
ὕστατον αὐτὸς ὑφ' Ἕκτορος ἔκθανεν ἀνδροφόνοιο.
Αὐτὰρ δὴ Μενέλαος χρυσοκόμην κατέπεφνεν
Βουκολίδην Εὔφορβον, Ἀβαρβαρέης φίλον υἱόν.
ἀργαλέου πολέμου γεγαῶτος δ' ἀμφὶ Πατρόκλῳ,
Ἀντίλοχον πέμπουσιν Ἀχιλλῆϊ ἐρέοντα.
ὃς δέ γε λυγρὴν ἀγγελίην τοίην ἐπακούσας
ἤϊεν ἐς πόλεμον καὶ ἤγαγε νεκρὸν ἑταῖρον.
Ταῦτ' ἄρα μῆνις ἔτευξε βαρύφρονος Αἰακίδαο,
ἣν Παλαμήδεος εἵνεκα μήνιεν Ἀργείοισιν·
τήν περ Ὅμηρος ἔφησεν, οὗ εἵνεκα εἶπε, γενέσθαι,

209. νεφέων Vat. νεφελῶν vg. 210. εἶαρ Vat. et a corr. Par. εἶδαρ vg. Correxerat Heynius. πυριτρόφον Vat. 212. Ἥρης Par. Ἥρῃ vg. κοίτην εἶναι Aug. Par. 213. τε] δὲ vg. 215. ἔκτινε Aug. 216. ἀγρόμενος Vat. τεῦξεν vg. 218. νῆας Vat. 219. ἀφῆκεν Aug. Par 221. ὕστερον Par. 226. λυγρὰν Harl. 228. βαρύφρονος Vat. βαρυφονός vg.

οὐκ ἐθέλων Δαναοῖς κακὸν αἶσχος τοῖον ἰάψαι·
οὗ χάριν οὐδ' ἐπέεσσιν ἑοῖς ὕμνησε τὸν ἄνδρα.
ταῦτ' ἄρα μῆνις ἔτευξε, μέχρι καὶ Πάτροκλον εἷλεν.
Αὐτὰρ ἐπεὶ βαρύμηνιν ἔπαυσε χόλον Πηλείδης,
'Ατρείδαις ἐσπείσατο· σὺν δ' ὅπλα χρύσεα τεύξας
ἤϊεν ἐς πόλεμον, πολέας δὲ Τρώων πέφνεν,
Αἰνείᾳ δὲ καὶ Ἕκτορι φύζαν ἀνάλκιδα ἧκε.
τοὺς δ' ἄλλους ἐδάϊξε παρὰ Ξάνθοιο ῥέεθρα.
ποινὴν δ' ἄρ Πατρόκλου ζῶντας δυοκαίδεκα εἷλεν.
Ὣς ὅ γε τοὺς ἐδάϊζε παρὰ Ξάνθοιο ῥέεθρα.
οἱ δ' ἄλλοι ἐδύοντο ποτὶ πτόλιν ἔνδοθι τείχους,
Ἕκτορα δ' οἶον μοῖρα πυλάων ἐκτὸς ἔρυξεν·
τὸν δ' Ἀχιλεὺς κατέπεφνε καὶ ἅρματι ἕλκετο δήσας.
ἄνδιχα δ' ἐξερέουσιν, ὅπως θάνεν Ἀρεϊ Ἕκτωρ.
οἱ μὲν γὰρ προπάροιθε πυλάων φασὶν ὀλέσθαι,
ἀντία Πηλείδαο δαΐφρονος ὁρμήσαντα,
πληγὴν ὀβριμόεσσαν ἐπ' ἀσφαράγοιο λαβόντα.
τῶν δ' ἄρα θυμὸς ἀγήνωρ οὐκ ἐπέεσσιν ὑπείκει,
ὡς αὐτοσταδίῃ Πηλείδης Ἕκτορα πέφνεν,
ἀλλ' ἄρα καρτερόθυμον Ἀμαζόνα Πενθεσίλειαν
ἐρχομένην φάσκουσιν ἐπὶ Τρώεσσιν ἀρῆξαι.
νυκτὸς ἀνὰ κνέφας ἐξελθὼν Ἕκτωρ [οἱ] ὑπήντα·

233. ταῦτα ἄρ Reg. 235. Ἀτρείδαις Vat. Ἀτρείδης vg. 236. ἐς Vat. εἰς vg. 238. ἐδάϊζε Vat. 239. τ' Vat. δυοκαίδεκα ζῶντας Reg. 240. ἐδάϊξε vg. 241. θείχους Reg. 242. ἔρυξεν Par. Vat. ἔρεξε Harl. Reg. ἔερξε vg. 243. ἅρματι ἕλκετο Vat. ἕλκεθ' ἁμάξῃ Par. ἕλκε δ' ἁμάξῃ Reg. ἅρματι εἵλετο Harl. et hunc secuta vg. 246. ὁρμήσαντες Reg. 247. λαβόντες Reg. 252. ἢ νυκτὸς Par. Pronomen οἱ de suo intulit Jacobs. 253. Particulam δὲ omittit Harl.

ἀνδράσι σὺν ὀλίγοις δὲ πόρον περόωντα Σκαμάνδρου
κάκτανε Πηλείδης, ὀπιπεύσας ἐν ξυλόχοισιν.
ἠοῦς δ᾽ αὖτε πρὸ ἄστεος ἐκ δίφρου ἕλκε ποδοῖιν
πηῶν ἠδὲ φίλων προπάροιθε κεδνῶν τε τοκήων,
Τρώων Τρωϊάδων τε ἰδὲ κλειτῶν ἐπικούρων,
οἳ μέγα δὴ γοάασκον ἀπὸ πύργων ὁρόωντες.
τόσση δ᾽ αὖτε πολύθροος ὤρετο τοῖσιν ἰωή,
ὡς οἰωνοὺς ἠέρι ἐν ταναῇ δονέεσθαι,
φρικαλέην δείσαντας ἐρίβρομον ἄγριον οἴμην·
ῥίγια δὲ κλάγγαζον ἐν ἠερίοις στομάτεσσιν,
ῥιπῇ ἐνὶ πτερύγων φρικώδεα δοῦπον ἱέντες.
γηθόσυνοι δ᾽ ἑτέρωθεν Ἀχαιοὶ ἀντεπίηχον.
καὶ τότε Τρῶες κλήϊσαν Ἴλιον ἀγλαόπυργον.
Ἀλλ᾽ ἄρα καὶ μορφὴν κλυτοῦ Ἕκτορος ἐξερεείνω.
ψελλὸς ἔην ἠΰς τε, μέγας, μέλας, ὀβριμόφωνος,
εὖριν, ἠϋγένειος, ὀλόθριξ, κυανέθειρος.
τοῖος ἐὼν πέσεν, ἤκαχε δ᾽ αὖτε Τρῶας ἅπαντας.
Πηλείδης δὲ Πάτροκλον ἑὸν κτερέϊξεν ἑταῖρον.
ἄθλους αὖτε ἔθηκεν, ἀεθλοῦσι καὶ ἄεθλα,
ἔξοχα Πριαμίδαο κεχαρμένος Ἕκτορος οἴτῳ,
ὃν ἔχε παρ κλισίῃσι δυωδεκάτην ἐπὶ ἠῶ,

254 ἔκτανε vg. invitis libris. ὀπιπεύσας Vat. ὀπιπτεύσας vg. 258. δὴ deest Vat. Qui omittit vv. 259 et 260. 259. τόσση Par. τόσσων Harl. Reg. τόσσον vg. 260. ταναῆδον ἠέσθαι Reg. φρικαλέαν Harl. δείσαντες Reg. 262. ἐν ἠερίοις στομάτεσσι Vat. ἐν ἱερίοις Reg. ἐνηερίοις vg. 265. ἠνεμόεσσαν vg. (Cf. v. 418.) 266. κλειτοῦ Reg. ἔρωτος Harl. 267. ὀβριμόφωνος Par. ὀβριμόθυμος Vat. ὀμβριμόφωνος vg. 270. κτερέϊζεν vg. 271. ἀεθλοῖσι Reg. 273. ἔσχε παρὰ Harl. Reg.
σισι κελεύθοις

νεκρὸν ἀεικίζων· ὡς γὰρ Διὸς ἤθελεν αἶσα.
Ἀλλ' ὅτε δὴ τρισκαιδεκάτη θέλεν ἐλθέμεν ἠώς,
αὐτίκ' ἄρα μέγαν Οὐρανὸν ὦρσε φερέσβιος Ἥρη,
Ἄκμονος ἀκαμάτοιο ἑὸν γόνον, ἐμπεδόμοχθον,
ὑψοῦ ὑπὲρ γαίης ἐξ ὠκεανοῖο φορεῖσθαι·
Νὺξ δ' ἀέκουσα θεὰ Κρονίης ἐπέβαινε κελεύθου,
ὀψομένη Τιτῆνας ἀμειδέας, ἠερόεντας·
Ἠὼς δ' αὖτ' ἀνέβαινεν ἀπὰ Κρόνου ἐς Διὸς οὖδας.
ἔχθρα γὰρ ἀλλήλῃσιν ἀνάρσιος ἔπλετο τῇσιν·
οὐδέποτ' εἰσορόωσιν, ἀποστροφέουσι δ' ὀπωπάς.
οὐδέποθ' ἓν μέγαρον κατέρυξεν εἰς ἓν ἰούσας,
οὕνεκα Νὺξ κροκόπεπλον ἐγείνατο Ἠριγένειαν,
ἡ δὲ χαλιφρονέουσα ἀείρεται εἴδεϊ καλῷ,
οὐδ' ἄρα θρέπτρα δίδωσιν ἀμείλιχος, ὥς περ ἐῴκει·
ὀργὴ δ' ἀμφοτέρῃσι πανάγριος ἔμπεσε ταῖα.
τοὔνεκα Νὺξ κατέβαινε ποτὶ Κρόνον ἠερόεντα,
κούρη δ' Ἠριγένεια Διὸς ἐπέβαινε μελάθρων.
σὺν δ' ἄρα Ἠελίοιο ἀλιτρεφέος σθένος ἠῦ,
ἤλυθε κυδιόων, πᾶσι μακάρεσσι φαείνων·
δαίνυντο γὰρ κατὰ δῶμα Ποσειδάωνος ἄνακτος.
γήθησαν δὲ θεοὶ καὶ ἴανθεν τόνδε ἰδόντες.

277. ἄκμονος Par. et Vat. qui haec addit: Ἄκμονος παῖδα τὸν οὐρανόν, παρὰ τὸ μὴ κεκμηκέναι τῇ κινήσει τοῦ κάτω ἡμισφαιρίου, ἔνθα Κρόνος καὶ Τιτᾶνες. Vulgo ἄκμονος, quod correxit etiam Lobeckius (ad Soph. Ai. p. 351). 279. κρονίης Harl. et vg. ἀπέβαινε vg. 282. ἀλλήλοισιν libri omnes. ἐπέπλετο Harl. Reg. 285. κροκόπεπλος Harl. Reg. ἐγείρατο Par. 286. ἠδὲ Harl. Reg. 287. θρέπτα Reg. ἀμείλιχα vg. 290. μελάθρων Vat. μελάθροις vg. 293. ποσειδάωνος Reg. 294. ἴανθε Harl.

καὶ τότε μὲν Πρίαμος, θνητῶν πανάποτμος ἁπάντων,
ἐκ κονίης ἀνεγείρεθ', ὅπῃ κατὰ ὕπνος ἐπέσχεν
Ἕκτορα μυρόμενον, ἠΰν γόνον, ἀστυάνακτα.
ἤτεε δ' ἐλθέμεναι μετὰ υἷεος ἀνδροφονῆα·
ὧδε γάρ οἱ θυμὸς περὶ οἷς μελέεσσιν ἐτόλμα,
ἠὲ κάρη ῥύσασθαι Ἕκτορος ἀνδροφόνοιο,
ἠὲ καὶ αὐτὸν χερσὶν ὑπ' Αἰακίδαο δαμῆναι.
παῖδες δὲ καὶ Τρῶές ἐρήτυον ἔνδοθι πύργων·
ὡς δ' εἶδον ὀφθαλμοῖς δεξιὸν αἰετὸν ὄρνιν,
εἴασαν ἐλθέμεν, ἡμιόνους δὲ ζεῦξαν ἀπήνῃ.
τῇ δ' ἐπὶ Ἑκτορέης κεφαλῆς λύτρα θῆκαν, ἑλόντες
κόσμον ἀπειρέσιον δέκα τε χρυσοῖο τάλαντα.
Καὶ τότε Τρωϊάδων πυλέων πετάσαντες ὀχῆας,
πανσυδίῃ γοόωντες πρὸ Πριάμοιο ἔβαινον.
αὐτὰρ ἐπεὶ γοόωντες ἕρκεα τάφρου ἔβησαν,
λαοὺς μὲν ποτὶ πύργους τρέψε βίη Πριάμοιο,
μοῦνον δ' Ἰδαῖον λάβεν, ἡμιόνων ἐλατῆρα.
ὃς δὲ γυιοτρομέων τε καρηβαρέων τε κάρηνον,
ἐν κονίῃ κεφαλὴν μεμορυγμένος εἵνεκα πένθους,
οἴκτρ' ὀλοφυρόμενος πεζὴν κατὰ οἶμον ἔβαινε.
τοῦ δὲ Πολυξείνη παῖς, ἀγλαὸν εἶδος ἔχουσα,
χεῖρ' ἔχε δεξιτερὴν καὶ ἐπωρθεύεσκε πορείην.

295. μὴν Vat. 297. μυρόμενοι Vat. μυρόμενος vg. 298. ἀνδροφόνοιο vg. 299. ὅδε Vat. qui mox omittit haec οἱ θυμὸς. 304. δὲ deest Harl. Reg.: quare ζεῦξάν τ' scripserat Jacobs. 306. δὲ vg. 307. περάσαντες Reg πυτάσαντες Harl. 308. πασσυδίῃ Harl. 310. προτὶ Vat. 312. τὸς Vat. τοὺς Reg. Prius τε omittunt Par, Vat. 314. πεζὴν Harl. Vat. πεζῇ Par. Reg. πεζὴ vg. 316. ἐπορθεύεσκε vg.

σὺν δέ οἱ Ἀνδρομάχη ἐπιέσπετο δακρυχέουσα,
νηπιάχους ἐρύουσα γοῶντας Ἕκτορος υἷας,
δοιὼ ἀδελφειώ, Ἀστυάνακτά τε Λαόδαμόν τε.
Οἱ δ' ὅτε δὴ κλισίησιν Ἀχαιῶν μίχθεν ἰόντες,
Ἀργείους λιτάνευον, ἐνὶ κονίησι πεσόντες,
πεισέμεν Αἰακίδην, ὄφρ' Ἕκτορα λύσῃ ἀποίνων.
καὶ τότε γηραλέοι βασιλῆες ἔρυξαν Ἀχαιῶν
ὄμματα, παρ Πηλείδου ἀολλέες εἰςαγαγόντες.
τοὺς ᾤκτειρεν ἰδών, εἰ καὶ μάλα χαλκεόθυμος,
οἰκτρὰ κυλινδομένους γε παραὶ ποσὶ μυρομένους τε.
πρῶτα γάρ οἱ Πρίαμος κυλινδόμενος προςέειπε·
Ὄβριμε Πηλείδη, μεγαλήτορα θυμὸν ἐπίσχες,
αἴδεο δ' Οὐρανίωνας, οἳ περὶ πάνθ' ὁρόωσι·
φείδεό μοι γήρως, λευκόχροά τ' αἴδεο χαίτην.
οἴκτειρόν με γέροντα βροτῶν βαρύποτμον ἁπάντων.
πεντήκοντά μοι υἷας εἷλες καρτεροθύμους,
ἀλλ' οὐ τόσσον φίλεον οἷά περ Ἕκτορα δῖον.
γουνοῦμαι, νεκρὸν ὄντα τὸν Ἕκτορα λῦσον ἀποίνων,
μηδὲ ῥέεθρα δροσόεντα παραὶ κυσὶν ὠμὰ βάλησθα,
δὸς δέ, Τρωάσι Τρωσί τε ὄφρα ἓ πένθος ἐνείκω.
Τοῖα μέν οἱ Πρίαμος προςεφώνεε Δαρδανιήδης.
αὐτὰρ ἔπειτα δάμαρ κλυτοῦ Ἕκτορος ἱπποδάμοιο,
πυκνὰ μάλα στενάχουσα καὶ ἄσχετα μυρομένη γε,

317. ἐπίπτετο Harl. 318. γοάοντας Harl. Reg. 319. ἀδελφῶ Reg. λαόδαμόν τι Vat. λαοδάμαντά τε Harl. λαοδάμαντα vg. 320. δὴ deest Harl. 322. πεισέμεναι Reg. 323. ἔρεξαν Vat. 324 ἀολλέες Vat. ἀελλέας Harl. ἀολλέας vg. 326. κυλινδουμένους et 327. κυλινδούμενος Harl. 334. deest Vat. 335. ὁμῶς Reg. βαθησθα Harl. 337. Δαρδανίδης vg. 339. ἄσπετα vg.

ἧκα παρακλίνασα κάρη χαρίεν τε πρόσωπον,
λεπταλέοις μύθοισιν ἐλίσσετο ἀνδροφονῆα,
καί μιν λισσομένη προσεφώνεεν, ἄγριον ἄνδρα·
Αἰακίδη μεγάθυμε, θεῶν ἐπιειμένε εἶδος,
οἴκτειρόν με, ἄναξ, καὶ ὀρφανὰ τέκνα τοκῆος,
ὃς κλέος ἦν Τρώεσσι, τὸν ἔκτανες ἔγχεϊ θύων.
οἴκτειρον πασῶν βαρυδαίμονα θηλυτεράων,
ᾗ πόρεν ἄλγεα λυγρὰ θεῶν νόος Οὐρανιώνων,
λυγρά τε καὶ στονόεντα καὶ ἐσσομένοισιν ἀκοῦσαι.
ἀλλὰ τίη σοι ταῦτα ἀκηχεμένη ἐρεείνω;
οἴκτειρόν με, ἄναξ, καὶ ἀνάρσιός εἰ τελέω περ.
δὸς νέκυν Ἕκτορα, δός μοι, ὅπως τάφου ἀντιβολήσῃ.
ἑπτὰ πρίν μοι ἀδελφειοὺς ἐσθλόν τε τοκῆα
κτείνας οὐδ' ἐνάριξας, σὺν δ' ἄρα τεύχεσι θάψας,
οὐ μὲν λύτρα λαβών, σὴν δ' αὖτ' ἀρετὴν ἀναφαίνων.
ἣν καὶ νῦν, ἥρως, ἐπὶ Ἕκτορι δείκνυε ἄμμι,
παισὶ δὲ τοῖο δέμας καὶ ἐπὶ δώροισι χαρίζευ,
ὄφρα ἑ τυμβεύσωσι, μέγα περὶ σῆμα βαλόντες,
σῆς ἀρετῆς τόδε τεύξαντες κλέος ὑστατίοισιν.
Ὣς φάτο λισσομένη ἐσθλὴ παῖς Ἠετίωνος.
Ἑκτορίδαι δ' ἑτέρωθεν ἐδάκρυον ἀγλαόμορφοι,

342. προσεφώνεες Harl. 343. ἐπιειμένε Vat. ἐπιειμένος vg. 345. ἔκθανες Reg. 348. Particulam τε vulgo omittunt. ἐσσομένοις Harl. 350. τελέω Harl. Par. Vat. τελέως Reg. τελέθεις vg. ἀνάρτιος Harl. 351. νέκω Harl. τάφον Harl. Reg. 354. σὴν Par. Vat. σὺν vg. Correxit iam Jacobs. 355. δείκνυε Par. Vat. δείκνυες Harl. Reg. δείκνυσο vg. 356. Copula deest vg. 358. τεύξοντες Harl. Reg. 360. ἑκτορίδ' ἑτέρωθεν Harl. ἑκτορίδαι δ' ἑτέρωθ' Reg. ἐδάκρυον Par. Reg. Vat. δάκρυον vg. cum Harl.

Digitized by Google

μητέρα δακρυόεσσαν λισσομένην ὁρόωντες,
μνησάμενοί τε τοκῆος, ὅθ' Ἕκτορος οὔνομ' ἄκουον.
νηπιάχων βλεφάρων δὲ περίφρονα δάκρυα χεῖτο,
δάμνα δ' ἄρ' Αἰακίδαο νόον καὶ ἀμείλιχον ἦτορ·
τοὺς γὰρ ὁρῶν ἐλέαιρε καὶ ἔνδοθι τείρετο θυμῷ·
εὐγενέων γὰρ δάκρυον ἄγριον ἄνδρα δαμάζει.
χρωτὶ δ' ἐρευθιόωντι καὶ ἄχροος ἔμπεσεν ὦχρος,
δάκρυα δ' αὖ κατέκρυπτε καὶ ἐν βλεφάροισιν ἐδάμνα.
ὡς δ' ὅτε λαμπετόωντος ἐν αἰθέρι ἠελίοιο
ἠέρι ἐμπελάσειε νεφῶν πυκνότης ἀπροόπτων,
τόνδε τε ἦκ' ἀπέκρυψε καὶ ἔσβεσεν εἴδεος αὐγήν,
ὠχριόων δ' ὁράαται ὑπαὶ νεφέων ἐριδούπων,
ὄμβρον ἄγων ἀλίαστον ἐπὶ χθόνα χαλκοθέμεθλον·
ἲς δ' ἀνέμου βρομέοντος ἀπήλασεν ἄγριον ὄμβρον·
ὣς τότε ὠχριόον κατεφαίνετο κῆρ Ἀχιλῆος,
στυγνὰ δὲ λειριόεντα ἐείδετο ὄμματα τοῖο,
πένθεϊ τειρομένου περὶ πένθεϊ Ἑκτοριδάων.
δάκρυα δ' αὖ βλεφάρων καὶ ἐπεσσύμενα προχέεσθαι
θυμὸς ἀπεσκεδάασκε καὶ αἰόλα μήδεα φωτός.
ὣς ὁ μὲν ἐν βλεφάροισιν ἑοῖς ἐπὶ δάκρυα κεῦθε.
Παρθένος ἁβροχίτων δὲ Πολυξένη ἔννεπε τῷδε,
ποσσὶν ἐπ' εὐτραφέεσσιν ἑλισσομένη περιπλέγδην·
Ὦ Ἀχιλεῦ, ἐλέαιρε καὶ ἄγριον ἦτορ ἐπίσχες·
αἴδεο τόνδε γέροντα, ἐμὸν γενέτην βαρυπενθέα·
οἰκτρὰ παραὶ προποδέσσι κυλίνδεται, ἔστι δὲ ἄναξ.

365. δ' ἄρ' Par. Reg. 369. Hoc versu caret vg. cum Harl. Reg. 371 ὦκ' vg. καὶ omittit Reg. 373. ὄμβρων Harl. qui mox χθόνα χαλκοδέμεθλον. 379. ἀπεσκεδέασκε vg. 385. προποδέσσι κυλινδόμενόν τοι Harl.

γυῖα δ᾽ ὑποτρομέοντα παλαίχρονα τοῦδ᾽ ἐλεαίρων,
υἷεα καρτερόθυμον ἀφ᾽ Ἕκτορα λῦσον ἀποίνων.
λῦσον ἀποίνων Ἕκτορα, πρὸς δ᾽ ἐμὲ λάμβανε δούλην
σῇσιν ἐνὶ κλισίῃσι παρ᾽ ἄλλαις δμωϊάδεσσιν.
Ὣς φάτο μειλιχίοισιν, ὀδυρομένη περὶ κῆρι.
τοὺς δ᾽ Ἀχιλεὺς ἐλέαιρε, γέροντα δ᾽ ἐλάζετο χειρός,
καί μιν ἐφεδριάασκεν, ἐπ᾽ ἠρέμα δάκρυον εἶβων.
πολλὰ παρηγορέων δὲ καὶ εἴδατα πεῖσε πάσασθαι·
ὃς δὲ ἐπείθετο, δαῖτα δ᾽ ἐλάμβανε, εἴτε καὶ ἄκων.
Ἀλλ᾽ ὅτε δὴ δαίσαντο περὶ ξενίῃσι τραπέζαις,
ἐξέθορε κλισίης Ἀχιλεύς, Πριάμου δ᾽ ἀπ᾽ ἀπήνης
χρυσὸν ἄρ᾽ εἷλε καὶ ἄργυρον Ἑκτορέων ἀπὸ λύτρων.
ἄλλα δὲ δῶρον ἔδωκε Πολυξένῃ οἴκαδ᾽ ἄγεσθαι,
μνῆμα γάμοιο ἑοῦ καὶ Ἀχιλλῆος μεγαθύμου·
οὐ γάρ οἱ ἔλπετο θυμὸς ἀπὸ πρὸ γάμοιο δαμῆναι,
τήνδε τε σήματι τοῖο ὑπ᾽ ἄορι θυμὸν ὀλέσσαι.
Ἀλλ᾽ ὅτε πάντα ἔρεξε καὶ Ἕκτορα θῆκεν ἀπήνῃ,
εἴρετο Δαρδανίωνα, ποσῆμαρ φύλοπιν ἴσχοι,
Ἕκτορ᾽ ὅπως γοάοιεν ἀταρβέα δακρυχέοντες.
αὐτὰρ ἐπεὶ ἐσάκουσεν καί οἱ ὑπέσχετο πάντα,
αὐτὸς μὲν κλισίην εἰσένθορε δῖος Ἀχιλλεύς,

386. δ᾽ deest. vg. 387. ὑφ᾽ Par. Vat. 389. δμωΐδεσσιν Harl. Vat. 490. μειλιχίῃσιν Harl. Vat. ὀδωμένη Harl. 392. ἐφεδρίασκεν Harl. εἶβε. Harl. 394. ὃς καὶ Par. Reg. Versum hunc non habet Vat. 395. ξενίαισι vg. 398. δῶρ᾽ Harl. οὕνεκα δ᾽ Harl. 401. ὀλέσσαι Vat. ὀλέσαι Par. ὀλέσθαι vg. 403. εἴρετο Harl. Vat. ἤρετο vg. ποσῆμαρ ἤματα Harl. Reg. ἴσχει (οι) Vat. ἴσχω ceteri. 405. ἐσάκουσεν Par. ἐσακουσε vg. ἐπέσχετο Harl. Reg. 406. εἰσένθορε Par. εἰς ἔνθορε vg.

τοὶ δὲ ποτὶ Τροίην ἀδινὰ στενάχοντες ἔβαινον.
Ἀλλ' ὅτε δὴ Τροίηθεν ἐφαίνετο κήδεος Ἕκτωρ,
νεκρὸς ἐπ' ἀπήνης περόων Ξάνθοιο ῥέεθρα,
πρώτη Τρωϊάδων Κασσάνδρη φοιβὰς ἰδοῦσα
κόσμον ἅπαντ' ἀπὸ κρατὸς ἔχευεν, ἔλυσε δὲ χαίτας.
πάντη δ' ἔνθα καὶ ἔνθα ἑλισσομένη περὶ πύργους,
πυκνὰ κόμην τίλλουσα τοῖον ἐπίαχε μῦθον·
Τρωϊάδες βαθύκολποι, Τρώων τ' ἄσπετα φῦλα,
γλῶσσα πολυσπερέων τε δορυκλυτῶν ἐπικούρων,
δεῦτέ μοι ἐκ πυλέων τε καὶ ἐκ πύργων ὁρόωντες,
πένθος ἄλαστον τοῖον ἐνὶ φρεσὶ θέσθε ἕῃσιν.
Ἕκτωρ, ὃς πρὶν ἐρύετο Ἴλιον ἀγλαόπυργον
ἠδ' ἀλόχους Τρώων κεδνὰς καὶ νήπια τέκνα,
ὃς κῦδος Τρώεσσιν ἔην κλειτοῖς τ' ἐπικούροις,
αἵματος ἐξ Ἀργείου Τρώων γαῖαν ἐρεύθων,
οὗ κλέος ἀνθρώποις οὐδ' ὑστατίοισιν ὀλεῖται,
νεκρὸς ἐπὶ Τροίην ἐπ' ἀπήνης ἔρχεται, οἴμοι!
Ὣς ἡ μὲν στενάχιζε θεοπρόπος ἐκβοόωσα.
λαοὶ δ' οἱ μὲν ἔβαινον ἐπ' ἀκροπόλει περὶ πύργους,
τλησίπονοί τε γέροντες, γραῖαι δ' αὖτ' ἐπὶ τοῖσι,
καὶ κοῦραι καὶ νύμφαι, παιδογόνοι τε γυναῖκες·
ἄλλο τε πλῆθος ἔβαινεν, ἐπεστείνοντο δὲ πύργοι.

407. στενάζοντες Harl. 408. κήδεος Par. et Vat.; et Vat. quidem supra additis his: φροντίδος ἄξιος. Vulgo κύδιμος. 410. κασάνδρη Par. φοῖβος Vat. 412. ποτὶ Vat. 413. πυκνόμην Reg. ἐπίαχε Vat. ἐπίσχεν Harl. ἐπήρχετο vg. 415 δουρυκλυτῶν Vat. 419. κεδνὰ Harl. 420. κλειτοῖς Vat. κλυτοῖς vg. 422. κλέος δ' vg. 424. ἐκβόωσα Harl. 425. περὶ] ἐπὶ Vat. 426. αὖ Harl. 428. ἄλλο τε πλῆθος ἔβαινεν

μητράσι δ' ἅμ' ἀνέβαινε κατηφέα νήπια τέκνα,
ἀρτίποδος βάσιος τρομερὸν γόνυ δινεύοντα,
ἄλλα δ' ὑπαὶ μαζοῖσιν ἐμύρετο δὲ καὶ ταῦτα.
῾Ως οἱ μὲν περὶ πύργους βαῖνον δακρυχέοντες.
οἱ δ' ἄλλοι ἐχέοντο πανιλαδὸν ἔξω τείχους.
καὶ τότε Τρωϊάδων βασιλήϊα φῦλα γυναικῶν
ἀμφ' Ἑκάβῃ ἀγέροντο καὶ ἔστενον, ἄλλοθεν ἄλλη,
᾿Αγχίσου ᾿Αγαμήδη, ἀδελφεὴ Αἰνείαο,
Φρόντις, ᾿Αβαρβαρέη, Θεανώ, Κλυτίοιό τ' ἄκοιτις
Λαοθόη, Οἰνώνη, ἄλλαι Τρωϊάδες τε,
νύμφαι τε Πριάμοιο, εὐγενέες περὶ πάσας.
σὺν δ' Ἑλένη τανύπεπλος ἐφέσπετο δακρυχέουσα,
τέτρασι σὺν τεκέεσσιν, ᾿Αλεξάνδροιο γενέθλῃ,
Βουνίκῳ Κορύθῳ τε καὶ ᾿Αγάνῳ ᾿Ιδαίῳ τε.
Κασσάνδρη δ' ἑκάτερθ' Ἑκάβης καὶ Λαοδίκεια,
τήνδε ποδοσφαλέουσαν ἀείρουσαι κατὰ κόσμον.
ἥδε μὲν οἷα νέκυς κάρη ἤμυεν ἔνθα καὶ ἔνθα·
τῆς δ' αὖτε προπάροιθεν υἱέες ἕνδεκα βαῖνον,
Αἴσακος ἠδ' Ἕλενος, Πάμμων, Πάρις ᾿Αντίφονός τε,
᾿Ιππόθοος ᾿Αγάθων τε, Πολίτης Δηΐφοβός τε·

Vat., ut voluerat Jacobs. Vulgo enim ἀλλ' ὅτε πλῆθος ἔβαινον. 429. νήπια τέκνα Jacobs de coniectura, quam confirmat Par. Ceteri aut καὶ τὰ νήπια aut καὶ νήπια, omisso τέκνα. 430. βάσιος Vat. βάσις Harl. Reg. βάσεως Par et vg. 432. ἔβαινον Harl. Reg. 433. πανιδαλὸν ἔξω τείχεος Harl. 434. βασίλεια Harl. 438. Οἰνώνη vg. 439. περὶ πάσας Harl. Par. Vat. παρὰ πάσας Reg. πάρα πᾶσαι vg. 441. γενέθλη Vat. γενέθλη Harl. γενέθλης vg. 442. κορύθῳ Vat. κορίθῳ vg. ἀγίνῳ Par. Reg. 443. ἑκάτερθεν Harl. Reg. 447. ἀντίγονός Par.

σὺν δ' ἄρ' ἀγαυὸς Τρώϊλος αὖτ' ἐπὶ τοῖσιν ἐπῆεν,
ὃ φύγον Αἰακίδαο βίην, ζῶον δ' ἄχρι καὶ τότε.
οἶος ἀπῆν Πολύδωρος, νήπιος, ὢν ἐνὶ Θρήκῃ.
Οἱ δ' ὅτε δὴ πέλας ἦσαν ἀπήνης Ἑκτορέοιο,
πάντες ἐπ' ἀσκεπέες καὶ ἀκρήδεμνοι κατέπιπτον,
μυρόμενοι, γοόωντες, ἀνέρες ἠδὲ γυναῖκες.
Ὣς Τρώων βασιλῆες μυρόμενοι στενάχιζον
ἐς πεδίον καταβάντες, ὅθι νέκυς Ἕκτορος ἦεν.
ἂν δὲ μέγας ἀπὸ πύργων ὦρτο γέρων ἀλαλητός·
νηπίαχος δ' ἑτέρωθεν ἐπέβρεμεν ἄπλετος αὐδή·
τοῖς δ' ἐπὶ θῆλυς ὁμαρτῇ ἄλλοθεν ἴαχε κραυγή.
στέναξαν δὲ πολύθροον ἔθνεα πάντ' ἐπικούρων.
ἵπποι δὲ χρεμέθοντο πανείκελα δακρυχέουσιν.
ἥμερα δ' αὖτε κτήνεα, ὅσσα βροτῶν ὑποεργά,
πάντῃ ἐπεστροβέοντο, ἀτυζόμενα γόῳ ἀνδρῶν·
βόμβος δ' ἦν αὐτῶν ὡς μυρομένοισιν ὁμοίων.
ἴαχε καὶ Σκάμανδρος, Νύμφαι τ' ἔβραχον Ἴδης.
Ἕλλη δ' αὖτ' ἐβόησεν· ἐπέγρετο βόμβος ἀπάντῃ.
πένθεϊ δ' ἐν νεφέεσσιν ἐδύσατο Φοῖβος Ἀπόλλων·
ἠρέμα δάκρυσε καὶ Ζεύς, μῦκε δὲ γαῖα πελώρη.
δεῖσαν δ', ὅσσοι ἔσαν ἀπάτερθεν, ἀγάστονον ἠχήν.
τόσσος δοῦπος ἔην, ὁ Μέτων ὁπόσον γε ἀείδει
ὑστατίοις γεγάμεν ἐνὶ ἤμασι, τέρματι κόσμου,

449. τρώϊλος δ' αὖτε ἐπὶ Harl. 451. οἶος αὐτῶν Reg. ἐν Harl. θράκῃ Reg 453. ἐπισκεπέες Harl. 454. γόωντες Harl. 455. στονάχιζον vg. 457 σὺν vg. cum Reg. 460. πολύθροα vg. cum Harl. ἐπὶ τοίων Reg. 461. ὅσα Harl. ὑπὸ ἔργα Par. 466. ἀπάντων Reg. 467. νεφέεσσι δύσατο Harl. 468 μῦκε Vat. μῦρε vg. 470. γε] δὲ Vat. 471. γεγάμεις Reg.

Digitized by Google

ἑπτὰ θεοὶ μεγάθυμοι ὅταν Κρόνου οἶκον ἵκωνται
ὑδροχόον, σκοτόεντα, δονήσῃ δὲ Κρόνος αὐτούς,
δινήσῃ δ᾽ ἄρα πάντα, Διὸς βασιλείαν ἀείρων,
πάντα καταχρύψῃ δ᾽ ἐνὶ ἀχλύϊ εὐρυβερέθρῳ.
τόσσος μυρομένοισι Τρωσὶν δοῦπος ἐπῆεν,
τόσση δ᾽ αὖ μακάρων ἰαχὴ γένετ᾽ ἤματι κείνῳ.
Καί νύ κε νὺξ κατέμαρψε Τρῶας δακρυχέοντας,
καί νύ κε δὴ πυλέων ἐκτὸς κατὰ ὕπνον ἕλοντο,
τιλλόμενοι ἀμφ᾽ Ἕκτορα· τοῖον γὰρ ποθέεσκον·
ἀλλ᾽ ἄρα μὴν Πρίαμος ποτὶ Τροίην ὦρσε νέεσθαι.
αὐτὰρ ἐπεὶ ἐσέχυθεν ἐπὶ πτόλιν ἀμφί τε πύργους,
κοσμήσαντες εὖ Ἕκτορα, ἐν λεχέεσσί τε θέντες,
ἐννῆμαρ γοάασκον· τοὶ δ᾽ ἄρ᾽ ἀγίνεον ὕλην.
Ἀλλ᾽ ὅτε δὴ δεκάτην ἐτέλεσσαν πάντα παρ᾽ ἠῶ,
πολλοῖς ἐν φυλάκεσσιν ἀτειρέα χαλκὸν ἔχουσιν
ἐκτὸς τείχους καὶ πτόλιος μέγα σῶμα κέαντες
ἐς κάπετον κατέθεντο πελώριον Ἕκτορα δῖον.
γαῖαν δ᾽ αὖτε χέαντες πολλὴν ὕψος ἄειραν,
καλὰ δὲ λαΐνεα ποτὶ τύμβον ἀγάλματα θῆκαν.

473. δονήσῃ Vat. δονήσει vg. 474. δινήσῃ Par. δινήσει vg. 476. τρωσὶν Par. τρωσὶ vg. 477. γένετ᾽ ἰαχὴ Vat. 481. μὲν Vat. μιν vg. 483. τιθέντες Vat. τιθέντες vg. 487. πόλιος Vat. 489. γαῖαν] χαῖαι Harl.

Digitized by Google

# ΙΩΑΝΝΟΥ ΓΡΑΜΜΑΤΙΚΟΥ

## ΤΟΥ ΤΖΕΤΖΟΥ

## ΤΑ ΜΕΘ' ΟΜΗΡΟΝ.

Digitized by Google

Digitized by Google

Αὐτὰρ ἐπεὶ ποίησαν ὑφ' Ἕκτορι ὅσσα ἐῴκει,
αὖτις ὑπὸ πτόλιν ἐσβάντες δάσαντο ἀνάγκῃ.
κλεῖθρα δ' ἐπὶ πυλέων βάλον, ἐν δ' ἐπέθεντο ὀχῆας,
ἠρτύνοντο δὲ πύργους ἐν κρατερῇσιν ἀνάγκαις,
ἐλπόμενοι χόρσονδ' ὑπ' Ἀργείων ὀλέσθαι.
Τοῖσι δὲ μυρομένοισιν ἀγασσόνου εἵνεκα πάτρης
καὶ ἐν τριτάτῃ ἀπὸ Θερμώδοντος ἰοῦσα
ἤλυθε Πενθεσίλεια, κόρη μεγάθυμος Ὀτρήρης,
ἠΰγενης τελέθουσα Ἀμαζονίδων βασίλεια.
ἤλυθε δ', ὡς ὁ Κόϊντος ἑοῖς ἐπέεσσιν ἀείδει,
οὕνεκα ἣν κάσιν ἔκτανεν Ἱππολύτην ἐνὶ θήρῃ,
μῦσος ἀλευομένη, δυοκαίδεκα δ' ἄλλαι ἕποντο.
ταῦτα μὲν ὧδε Κόϊντος ἑοῖς ἐπέεσσιν ἀείδει.

2. ἐσβάντες Vat. εἰσβάντες vg. 3. πυλέων Vat. πυλάων Par. πυλων vg. 3. ἐν Vind. 4. κρατερῇσι Vind. 5. ὀλέσθαι Vind. 11. ἔκτεινεν Vind. 12. ἀλεομένη Vind. 9' Par. 13. ὧδε κόϊντος Par. Vat. ὧδε ὁ κόϊντος Vind. ὧδ' ὁ Κόϊντος vg. ἐν οἷς Par. Vat.

Ἑλλάνικος, Λυσίας δὲ καὶ ἄλλοι ἄνδρες ἀγαυοὶ
φάν, ἕνεκα σφετέρης ἀρετῆς ἐπιήλυθε Τροίῃ,
κῦδος ἀεξήσουσα, ὅπως κε γάμοισι μιγείη·
ταῖς γὰρ ἀπαίσιόν ἐστι παρ' ἀνδράσι βήμεναι εὐνῇ,
εἰ μὴ μὲν πολέμοισιν ἀριστεύσωσιν ἐπ' ἄνδρας.
τὼς μὲν Πενθεσίλειαν ἐπελθέμεν οἵ γ' ἐρέουσιν.
τοὶ δ' ὑπὸ δώρων Ἑκτορέων ἐρέουσιν ἰοῦσαν
πυθομένην μόρον Ἕκτορος αἶψ' ἐθέλειν ὑποείκειν·
τὴν δ' ὁ γέρων Πρίαμος κατέρυξεν ἑοῖς ἐνὶ δώροις,
πολλοὺς ἄνδρας ἔχουσαν ἀπὸ Σκυθέων κλυτοτόξων,
πεζοὺς ἱππῆάς τε ἀρηϊφίλους τε γυναῖκας.
ἤγαγε δ' ὀτραλέως καὶ ἐνδυκέως φιλέεσκεν.
Ἀλλ' ὅτε δὴ ἐπέβαινε γυνὴ κατὰ Τρωΐος ἄστυ,
πάντες ὁμῶς ἐξέχυθεν ἐσέδραμον, ἄλλοθεν ἄλλος·
θαῦμα γὰρ εἶχεν ἅπαντας ἀρηϊφίλοιο γυναικός.
τὴν δ' ὁ γέρων φιλέεσκεν ἐνὶ μεγάροισιν ἑοῖσιν.
Αὐτὰρ ἐπεὶ πολλοῖς ἐνὶ ἤμασι θυμὸν ἔτερψε
ῥῶσέ τε ἵππων γούνατα καὶ μένος, οἷ οἱ ἄαπτος
δὴ τότ' ἐθώρηξε λαοὺς Τρώων τε καὶ αὐτὴ
ἵστατο δ' ἐν μέσσοισιν ἐλίγκιος ἄντα θεῇσι.

14. κλυσίας Vat. 16. ἀεξήσουσα Par. Vat. ἀέξασα Vind. ἀεξήσασα κε καὶ Vat. ταὶ Par. Vind. τῆς vg. 17. Extrema voce caret Par. 18. μὲν] μὴν Vat. ἀριστήσωσιν ὑπ vg. 19. ἐπελθῆμεν Vat. ἐλθέμεν vg. 21. αἰψ' Par. αψ vg. 22. τηνδ' vg. ἑοῖς deest vg. 25. ἤγαγε δ' Par. Vat. ἤγαγε Vind. ἤγαγεν vg. 26. ἐπέβαινε Vat. ἐπέκαιε Par. ἐπιφαινε vg. 27. ὁμῶς [Τροίης] ἐξέχυθεν ἄλλοθεν vg. 28. εἶλεν vg. 30. ἐπὴν vg. ὀλίγοις malebat Jacobs. 31. δὴ vg. 33. θεῇσι Par. θεοῖσιν vg.

Τρωϊάδες δ' ἄρα πᾶσαι εὐχετόωντο γυναῖκες
Ἕκτορος ἐσθλοῦ ποινήτειραν τήνδε γενέσθαι,
Ἀργείους ὀλέσασαν ἐπὶ δίνῃσι θαλάσσης.
καί νύ κεν ἐξαπέφηνε τελέσφορον εὖγμα γυναικῶν·
πολλάκι γὰρ παρέλασεν Ἀχαιοὺς κύμασι πόντου·
ἀλλὰ Κρόνος χαλέπηνεν ἀάσχετος, ἀγκυλομήτης,
ὅς ὑπ' Ἀχαιῶν Τροίῃ ἐμήδετο λυγρὸν ὄλεθρον,
ὅς καὶ τὴν ἀπόερσεν ἐν ἔγχεϊ Αἰακίδαο,
καὶ κρατερήν περ ἐοῦσαν ἀμαιμακέτην τε γυναῖκα.
ἤτοι γὰρ τότε θωρήξασα λεών τε καὶ αὐτήν
Τρωϊάδων πυλέων ἐξέσσυτο· χαῖρε δὲ λαός,
ὡς εἶδον κατὰ κόσμον ἐπὶ στίχας ὁπλίζουσαν.
καὶ γὰρ ὀϊστοφόρους παρὰ δεξιὸν ἔρκος ἔηκεν,
ὁπλίτας δ' ἑκάτερθε, σιδήρεον ἔμμεναι ἕρκος.
ἦρχε δὲ τοξοφόρων ἀνδρῶν Πάρις ἠδὲ Λυκάων,
πρὸς δ' Ἕλενος καὶ Πάμμων Ἱππόθοός τε Ἀγήνωρ·
Δηΐφοβος δ' ὁπλίτας ἄγε, Πουλυδάμας, Ἀγάθων τε,
Αἴσακος, Ἀντίφονος, Πολιήτης· πρὸς δ' ἄρ' ἀγαυός
Τρώϊλος Αἰνείας θ' ἱππήϊα τάγματα ἦγον.
ἀσπίδες αὖτ' ἄραρον καὶ ἔγχεα καὶ τρυφάλειαι,
αὐγὴ δὲ σμαράγιζε σιδήρεος, ἔστενε γαῖα
ὅπλων ὑπ' ἀραβόιο καὶ ἵππων καρτερογαύνων.
Ἡ δ' ἄρ' ἐν ἱππείοισι μετέπρεπε τάγμασι μέσσον,

34. τρωάδες Vind. 36. ἐπὶ vg. 38. πολλοὶ Vind. πάρελσεν vg. 39. χαλέπαινεν Par. 40. ἐκήδετο Vat. 43. ποτὶ Par. 48. ἦρχε Par. ἦρξε vg. ἠδ' ἐλικάων Vat. 50. πολυδάμας Vind. 51. ἀντίγονος Par. Πολυήτης vg. 52. δ' vg. ἱππίεια Vat. ἦγον Par. εἶχον Vat. εἶχεν vg. 53. αὖτ'] δ' εὖ vg. τριφάλειαι Vind. 55. ἀράβοις vg. κ' Vind. 56. ἱππήεσσι vg.



Digitized by Google

καλὴ Πενθεσίλεια, κόρη μεγάθυμος Ὀτρήρης,
ἀργύρεον θώρηκα παναίστερον ἐνδεδυκυῖα·
κρατὶ δὲ τῆς ἐπέκειτο κόρυς λιθάδεσσι φαεινή,
μαρμαίρουσα λυχνῆσι καὶ ἀμεθύσοις ἐρατεινοῖς.
αὐτὰρ γωρυτὸς ὀσφύϊ καλὸς ἦεν φαρέτρη τε,
χρύσεια, λαμπετόωντα, ἐπάρμενα τῇδε γυναικί.
πρὸς δὲ σάκος βριαρὸν ἐπέην λαιὴν κατὰ χεῖρα·
ἐν δ' ἄρ' ἔην Ἄρης καὶ Ἔρως καὶ Πενθεσίλεια.
μάρνατο δ' αὖτε Ἔρως ἰδ' Ἄρης περὶ τῆσδε γυναικός,
καὶ γραπτοί περ ἐόντες· ζωοῖς δ' αὖτε ἐίκτην.
ἤτοι γὰρ μὲν Ἔρως κούρην φάτο ἔμμεναι εἷο,
Ἄρης δ' αὖ ἑτέρωθε. μέση δ' ἐπιίστατο κούρη,
κάλλεϊ καὶ ἔντεσσι διακριδὸν ἀστράπτουσα.
τῆς δ' ἄρ' Ἔρως κόρυν ἁρπάζων φιλέεσκεν ὀπωπάς,
Ἄρης δ' αὖ ἑτέρωθεν ἐκίνεε κρᾶτα πυκάζων.
τοίη οἱ ἐπέην ἀσπὶς λαιὴν κατὰ χεῖρα.
δεξιτερῇ δ' ἔχε φάσγανον εἴκελον ἀστεροπῇσιν.
ἕζετο δ' ἐν ἵππῳ κυανόχροϊ, ἀγκυλοδείρῳ·
τοῦ δ' ἀπὸ χαιτάων κυανόχροος εἴδετο αἴγλη·
ὃς κούρην φορέων εὐειδέα, καρτερόθυμον,
κυδιόων ἀφρίασκεν, ἐπ' ὄμμασι πῦρ ἀμαρύσσων
οὐδὲ πατεῖν ἐθέλεσκεν ἐπὶ χθονίην ἀτραπιτόν,

59. κρατὶ Par. Vat. quod reponendum esse viderat Jacobs, cum in Vind. inveniret κάπὶ. 61. γωρυτὸ vg. ἦεν deest vg. 67. μιν Par. Vat. κούρην Vind. εἶναι ἑοῖο vg. 68. ἑτέρωθεν Vat. Vind. ἐπιίστατο vg. 70. κόρον Par. ὀπωπήν vg. 73. ἔσχε Vind. ἴκελον Vind. 77. ἐπ' Vat. ἀπ' vg. 78. χθονὶ ἀτραπιτὸν vg. ex Vind. ἐπιχθόνιον ἀτραπιτὸν coniic. Jacobs.

ἀλλ' ἄρ' ἐπ' αἰθερίην ἐβιάζετο ἆμον ὀρούειν.
Χαῖρε δὲ Τρώϊος ἐσμὸς ταύτην εἰσορόωντες·
Ἀργεῖοι δὲ φίλον κῆρ παχνώθησαν ἰδόντες.
τριχθὰ δὲ κόσμηθεν, καὶ οὐκ ἐθέλοντες, ἀνάγκη.
ἦτοι γὰρ Μενέλαος, Τεῦκρος Μηριόνης τε,
σὺν τοῖς καὶ Ἀρκεισίδεω παῖς ἀγκυλόβουλος,
ἔθνεα πάντα ἔχεσκον ὀϊστοφόρων αἰζηῶν·
Αἴας δ' αὖτ' ἐκόρυσσεν λαοὺς ἀσπιδιώτας
Νέστωρ τ', Ἰδομενεὺς καὶ Ἰάλμενος ἠδ' Ἀγαμέμνων·
ἱππῆας δὲ Μενεσθεὺς Αἰακίδαο βίη τε
Τυδείδης τε καὶ ἄλλοι ἐπίδμονες ἱπποσυνάων.
Τῶς δ' ἄρα κοσμηθέντες ἐπυκνώσαντο φάλαγγας
εὖ ἐναρηράμενοι· τὴν δ' οὐ καταέσχεθον ἔμπης.
τοὶ μὲν γὰρ νεοτευχέες ἀδμῆτές τε ἐόντες,
ἵπποις καρτερογούνασιν ἑζόμενοι μεγάλοισιν,
πρὸς δέ γε Πενθεσίλειαν, ἑὴν βασίλειαν, ὁρῶντες
εὐσθενέως ἐλάουσαν ἐπὶ στόμα καὶ στίχας ἀνδρῶν,
Ἀργείους πολυτειρέας ἐν δεκάτῳ ἐνιαυτῷ
ἀργαλέῃ ἰαχῇ καὶ ἱππείῃ ἐν ἐρωῇ
δουρατέῃ τε πυκνάσει καὶ βελέῃ γε χαλάζῃ
ὦσαν, ἀπὸ δὲ λόχους κέρσαν, ἀπό θ' ἵππειον ἴλην.

79. οἶμον Vind. 81. δὲ deest Vind. 83. ἦτοι μὲν [γὰρ] vg. 84. ἀρκεισίδεω Par. Vat. ἀρκισίδεω Vind. Ἀρκεισιάδεω vg. 85. ἔθνεα Par. Vat. ἐνὶ ἄρα vg. 86. ἐκόρυσσε Vind. 89. δὲ libri. 91. ἐναρησάμενοι Vind. καταίσχεθον Par. κατέσχεθον vg. 92. τοὶ Par. τῇ Vat. Vind. ταὶ vg. 93. ἑζόμεναι libri. μεγάλαισιν vg. 95. εὐσθενέως γρ. Vat. et de coniectura Tychseni vg. ἐλισθενέως Vind. ἀτρεκέως Par. Vat. 98. βελέησι χαλάζῃ vg. 99. δ' Vat. Omittit Vind.

Digitized by Google

Καὶ τότε τοὺς ἐδάϊζεν ἀάσχετα Πενθεσίλεια
ἠδ' ὅσοι οἱ ἐφέποντο, γυναῖκές τ' ἠδὲ καὶ ἄνδρες.
πᾶν δ' ἄρα νεκρῶν ἔπληθε τότε Τρώϊον οὖδας.
τίς δ' ἄρα γλῶσσ' ἐρέησιν, ὅσοι τότε πέσσον Ἀχαιῶν;
ὡς δ' ὁπότ' ἐς ἀνέμοιο, ἐριβρεμέτου Βορέαο,
ἐμπνεύσας ἀδόκητα ἐφέσπερα, χείματος ὥρῃ,
πήγνυσιν ὕδατα λευκὰ καὶ ἐς χιόνα μεταβάλλει,
πάντῃ δ' ἔνθα καὶ ἔνθ' ἐπύκασσεν γαῖαν ἅπασαν,
ὡς τότε Πενθεσίλεια γυνή, ἐπ' ἄελπτα φανεῖσα,
ὁρμὴν ψῦξεν Ἀχαιῶν, ἔσβεσε δ' ἔνδοθι θυμόν,
στρῶσε δὲ πᾶν πεδίον νεκρῶν, μερόπων τε καὶ ἵππων.
τοὺς δέ τε νὺξ ἐσάωσε Ποσειδῶνός τ' ἐπαρωγή·
ἡ δέ τε πὰρ Τρώεσσιν ἀφίκετο, χάρμα κιοῦσα,
πολλοὺς Ἀργείων φορέουσα καὶ ἔντεα νεκρῶν.
Ὡς δ' ἄρα τοὺς ἐδάϊζεν ἐπὶ τρισὶν ἤμασι κούρη,
νυκτὶ σαωζομένους ποτὶ ῥηγμίνεσσι θαλάσσης.
ἀλλ' ὅτε νὺξ σκοτόεσσα τετάρτου ἤματος ἦεν,
εὗδε δ' ἄρ' ἐν λεχέεσσιν ἀγαλλομένη ἐπὶ νίκῃ,
αὔριον οἰομένη Ἀργείους πάμπαν ὀλέσσαι,
δὴ τότ' ἄρα Πριάμῳ καὶ αὐτῇ Πενθεσιλείῃ

100. ἐδάϊξεν vg. 101. ἠδ'] καὶ vg. ὅσσοι Vind. τ' deest vg. 102. ἔπληθε Par. Vat. ἔπλησθε Vind. ἐπλήσθεν vg. 103. πέσον vg. (Cf. v. 180.) 105. ἐφ' ἕσπερα Vind. ὥρα Vind. 106. εἰς vg. 107. ἔνθα Vind. 108. ἐπάελπτα vg. 109. ἔσβεσεν vg. 111. τε libri omnes. γε vg. ποσειδῶνος ἐπάρωγοι Vind. 112. δέ τε πὰρ Vat. ἦδε τε παρὰ Vind. ἦδε παρὰ vg. 114. ἐδάϊξεν vg. 115. σαωζομένους Par. σαοζομένους Vat. σκυζομένους vg. ποτὶ Vind. 117. εὗδε δ' ἄρ' Vat. εὖ δ' ἄρ' Par. εὗδε δὲ vg. ἐπὶ Par. Vat. περὶ vg. cum Vind. νίκης vg. de coniectura Jac.

Digitized by Google

Ἤρη ὄνειρον ἧκεν ἀτερπέα, δακρυόεντα,
πότμον ἐποσσύμενον μεγαθύμου Πενθεσιλείης.
ἦτοι γὰρ Πριάμῳ ζώειν δοκέεσκεν ἔθ' Ἕκτωρ,
κούρης δ' εἶδος ἔχειν, καὶ ἀρήϊος, ὡς πάρος, ἦεν·
χαῖρε δὲ τῷ Πρίαμος καὶ ἄλλων ἔθνεα Τρώων·
τὸν δ' ἄρα Πηλείδης κατάκτανεν ἤϋτε πρόσθεν.
Πενθεσιλείῃ δ' αὖτε εἴσατο τοῖος ὄνειρος·
μητέρα τῆς δοκέεσκεν ὁρᾶν, μεγάθυμον Ὀτρήρην,
αἰζηῷ μάλα καλῷ τήνδε διδοῦσαν ἕπεσθαι,
νυμφίῳ ἠϋκόμῳ, κάλλει Χαρίτεσσιν ὁμοίῳ·
ἡ δ' ἐθέλεσκεν ἕπεσθαι· ἀνὴρ δέ τις ἄγριος ἄλλος
πίσσῃ εἰδόμενος χροιήν, δεινός τε μέγας τε,
κρᾶτα φέρων ἑκατόν, παγχάλκεον ἔγχος ἀείρων,
ἵππῳ ἐφεζόμενος παναμείλιχα φυσιόωντι,
ἁρπάξας προβέβηκε βερεθριόωσι μελάθροις.
τοῖα τοῖσι φάνη ἐπινύκτερα φάσματ' ὀνείρων.
Εὖτ' ἄρ δ' ὠκεανοῦ ἀπορήσατο Ἠριγένεια,
δίφρῳ ἐφεζομένη, — τὴν δ' ὠκέες εἴρυον ἵπποι,
Λάμπος καὶ Φαέθων, οἵ οἱ ζύγιοι τελέθουσιν·
Πήγασος αὖτε νεότητος παρήορος ἦεν —,
καὶ τότε δὴ κούρη θωρήσσετο Πενθεσίλεια.

121. ἐποσσόμενον Vat. ἐποσσύμενον Par. ἐπισσύμενον vg. 123. ἔχε Vat. ἔσχεν Par. ἔχων Vind. 124. τῷ deest vg. 125. κατέκτανεν Par. κατάκτανεν Vat. κατέκτανεν vg. 128. διδοῦσαν vg. 129. εὐκόμῳ Vind. 131. δεινός] ἠΰς Par. Vat. 133. παναμείλιχον Vind. 134. ἁρπάσας vg. 136. ἂν vg. (Cf. v. 463). ἀπο ἔσσυτο vg. 139. νεόκτητος Par. Vat. γεόκτητος Vind. νεότητος vg. de coniect. Jac. παράσυρος Vat. 140. θωρήσσετο Vat. θωρήσσατο vg.

τῆς δὲ κορυσσομένης ἀπὸ κρατὸς κάππεσε πήληξ,
σὺν δ' ἵππος χρεμέτισε πανείκελα μυρομένοισιν.
ταῦτα κορυσσομένῃ οἱ ἐφαίνετο σήματα λυγρά·
εὖτε δ' ἄρ' Ἀργείοισιν ἐείσατο ἄντα μάχεσθαι,
αἰετὸς ἐν νεφέεσσι πέλειαν τίλλε μεμαρπώς,
ὡς Ἀχιλεὺς τὴν μέλλε δαϊζέμεν ἔγχεϊ μακρῷ.
ἤτοι γὰρ πολέμοιο συνεστῶτος κρατεροῖο,
ἔμπεσεν Ἀργείοισι παρὰ Ξάνθοιο ῥέεθρα,
τῇ δὲ γυναῖκες ἕποντο ἀρήϊοι, ἀγκυλότοξοι,
βάλλουσαι βελέεσσι· πολὺς δ' ἐπέην ἀλαλητός.
ἡ γὰρ ἐπ' ἄνδρας ἔλα τευχήτορας, ἀσπιδιώτας,
ἱππῆας δὲ παρέδραμεν ἔγχεσι κῦδος ἔχοντας.
καὶ τοὶ μὲν μάρναντο σὺν ἡγεμόνεσσιν ἑοῖσιν·
ἡ δὲ γυναιξὶ καθιππεῦσαι ἐθέλεσκεν Ἀχαιούς,
ὥς κεν ἀποκτείνειε μέσον περὶ πάντας ἑλοῦσα.
καί νύ κε πάντα τέλεσσεν, ὅσα φρεσὶν ἔλπετο ᾗσιν·
ἔνθεν γὰρ Αἰνείας εἶχεν ἵππειον ἴλην,
Δηΐφοβος δ' ἑτέρωθεν λαὸν ἀσπιδιώτην·
σὺν δὲ Πάρις κλονέεσκεν ὀϊστοφόροις αἰζηοῖς.
οἱ δὲ καὶ οὐκ ἐθέλοντες ὑπερθύμως ἐμάχοντο
Ἀργεῖοι Τρώεσσι· παλαμναίη γὰρ ἀνάγκη.

141. κορυσσαμένης vg. 142. πανείκελος vg. 143. κορυσσαμένη vg. πήματα Par. Vat. 144. δ' ἄρ' deest Vind. δὲ inseruerat Jacobs. 145. νεφέλῃσι Vat. 146. ἔγχει Vat. ὀξὺ vg. 149. τῇ δὲ Vat. τῇδε vg. 150. ἴα Par. Vat. ἰὰ Vind. Correxit Jacobs. 154. γυναιξὶν Vind. 156. τέλεσεν Vind. ὅσσα Vind. 157. ἔνθα Par. Vat. ἵππων vg. (Cf. v. 99.) 159. ὀϊστοφόροισιν Vat. αἰζηοῖσιν Par. 160. ὑπερθύμως Vat.

ἀνδρῶν δ' ἰφθίμων κεφαλαὶ πεσέοντ' ἐπὶ γαίῃ,
πολλαὶ μὲν Δαναῶν ἠδὲ Τρώων μεγαθύμων.
ἡ δὲ γυναῖκας ἔχουσα ἀρηϊφίλους ἐλάασκεν,
ὥς κεν ἐνικλείσειε, μέσῳ δ' ἐνὶ πάντας ὀλέσσῃ.
ἀλλ' Ἀχιλεὺς ἐφράσσατο, κείνης δ' ἔσβεσεν ὁρμήν.
ὡς γάρ μιν ἐλάουσαν ἐπερχομένην τ' ἐνόησεν,
ἔστη ἑλιχθεὶς ἐν πυμάτοισι λόχοις ἀπὸ πρώτων,
βαιοῖς σὺν ἱππεῦσι δ' ἀρηρόσιν ἐν σακέεσσιν
ἤλασεν ἀντιβίως κατεναντίον ἀπροόπτως,
καί ῥα προεξελάων τοξαζομένην βασίλειαν
δεξιτερὴν κατὰ πλευρὴν δόχμιον οὔτασε δουρί.
αἶψα δ' ἀφ' ἵππου κάππεσεν, εἰσέτι δ' ἐμπνείεσκεν.
καὶ τὴν μὲν λίπεν αὖθι, ἐπ' ἄλλας δ' ᾤχετο κούρας.
τῷ δ' ἄρα μὴν ἱππῆες ἕποντο καρτερόθυμοι.
Ἔνθ' ἤτοι πέσεν Ἱπποθόη καὶ Ἀντιάνειρα,
Τοξοφόνη δ' ἐπὶ τῇσι θάνεν καὶ Τοξοάνασσα,
καλὴ Γωρυτόεσσα καὶ Ἰοδόκη Φαρέτρη τε,
Ἀνδρώ, Ἰόξεια, Βιοστρόφη, Ἀνδροδάϊξα.
πρὸς τῇς Ἀσπιδοχάρμη πέσσε καὶ Ἐγχεσίμαργος,
Κνῆμις καὶ Θωρήκη, Χαλκάορ Εὐρυλόφη τε
Ἑκάτη Ἀγχιμάχη τε καὶ Ἀνδρομάχη βασίλεια.

162. γαίης Par. 163. πολλῶν vg. ἠδὲ Vat. ἠδέ γε Vind. ἠδέ τε Par. ἠδὲ καὶ vg. 167. τ' deest Par. Vind. 168. ἐνὶ Vind. πρωτῶν Vind. 169. ἱππεῦσι δ' Vat. Vind. ἱππεῦσιν vg. 170. ἀπροτιόπτως vg. 172. πλευρὰν vg. 175. τῷ δ' ἄρα μὴν Vat. τῷ ῥά μιν Vind. ταί ῥά μιν vg. de coniect. Jac. Totum versum omittit Par. 177. τῇσι Par. ταῖσι vg. θάνε Vind. 179. Οἰστροφὴ vg. 180. τῆς libri omnes. ταῖς vg. Verbum πέσσε deest vg. πέσε Par. ἐγχίμαργος Par. Vat. 182. τε deest Vat.

ταὶ μὲν Ἀμαζονίδων κούρῃσιν ἔσαν ἔξοχον ἄλλων
ἡγεμόνες, βασίλειαι· πληθὺς δ' ἄσπετος ἦεν.
Τρῶες δ' ὡς οὖν εἶδον Ἀμαζονίδων βασιλείας
χερσὶν ὑπ' Ἀργείων δηιξομένας μεγαθύμων,
οὐκέτι θυμὸν ἔχεσκον ἐνὶ μελέεσσιν ἑοῖσιν·
ἀλλ' ἵππων ἐν γούνασι καρπαλίμοις τε πόδεσσι
φεῦγον δ' ἄλλη ἄλλος. τοὶ δὲ δίωκον ὄπισθεν
Ἀργεῖοι μεγάθυμοι, βαῖνον δ' ἐν νεκύεσσιν,
[illegible] ἄλλους μὲν συνέλσαν τείχεϊ Τρώων,
τοὺς δ' ἔτι ἔξω τείχεος εἷλον ζωγρείῃσιν.
δάσσατο δ' αὖτε ἕκαστος Ἀμαζόνας ἠδὲ καὶ αὐτούς.
Αὐτὰρ ἐπεὶ τετέλεστο μόχη πολέμοιο δαφοινοῦ,
αὐτίκ' ὑποστρεφθέντες Πενθεσίλειαν ἑώρων.
ἡ δ' ἔτι ἀσπαίρεσκεν ἐνὶ θανάτοιο φονῆσιν,
μαρμαίρεσκε δὲ κάλλεϊ ὕστατα φυσιόωσα,
οὐδέ τι φλαῦρον ἔφαινε· κούρη γὰρ ἔην ἔτι ἀδμής.
μύρετο δ' Αἰακίδης, καὶ ἐλίσσετο πάντας ἑταίρους,
τύμβον ὅπως τεύξαντες ἐπικτεριοῦσι γυναῖκα.
σῆμα δὲ πρῶτον Θερσίτου γένετ' ἠέ περ αὐτῆς.
ἤτοι γὰρ Πηλείδης μύρετο, ὡς ἐπεώκει,
ἥβην ἠνορέην τε καὶ ἔξοχα κάλλεα κούρης·
Θερσίτης δ' ἑτέρωθε λέγ' αἴσχεα εἵνεκα [illegible].
τὸν δ' Ἀχιλεὺς κροτάφοισι βαλὼν ἐξείλετο θυμόν.
καὶ τότε δὴ Τυδείδης, Θερσίταο χολωθείς,

183. μιν vg. ἔξοχαι vg. 186. δαϊζομένας vg. 188. τε] περὶ Vind. 189. δ' deest vg. 191. τείχεα Par. 192. δέ τοι vg. 193. αὐτῶν vg. 196. φορῆσιν vg. 198. οὐδέ τι Par. οὐδ' ἔτι vg. ἔτ' Vind. 200. ἐπικτερίωσι vg. 205. γρόνθοισι coniic. Jacobs.

Digitized by Google

ῥῖψε ποτὶ Σκάμανδρον Ἀμαζόνα Πενθεσίλειαν·
ἔνθα ἑ τὴν λίπε θυμὸς ἐνὶ ῥοθίοισι Σκαμάνδρου.
οὐδ᾽ ἄρα Τρυφιοδώρῳ ἑφανδάνει, οἷα καὶ ἄλλοις,
Ξάνθου ἐνὶ ῥεέθροις ῥιφῆναι Πενθεσίλειαν,
Αἰακίδῃ δ᾽ ἐρέει κταμέειν ἅμα καὶ κτερεΐξαι.

Ὣς ἄρα πῆμα Τρωσὶν ἐπήλυθε δεύτατον ἄλλο·
Ἀργεῖοι δ᾽ ἀνέπνευσαν ὀϊζυρῆς ἀπὸ χάρμης.
ἀλλ᾽ ἄρα βαιὸν ἐπὶ χρόνον ἐκτὸς ἀπέσσαν ἰωκῆς·
Μέμνων γὰρ πάλιν ἤλυθεν Αἰθιόπων ἀπὸ γαίης,
Φοῖνιξ Πουλυδάμας τε, λεὼς δ᾽ ἐπιέσπετ᾽ ἀπείρων,
πεζοί θ᾽ ἱππῆές τε, ὅση ψάμαθός τε κόνις τε,
ψιλοί, ὁπλῖται, πελτοφόροι καὶ σφενδονέοντες,
φρακτοί, ἄφρακτοι, ἠδὲ Ταραντῖνοι μεγάθυμοι,
δουρί τε μαρνάμενοι καὶ τοξοδάμαντες ἐπῆσαν.
τοὶ μὲν ἔσαν μάχιμοι, πολλοὶ δ᾽ ἄρα χρειοδοτῆρες
νυκτὶ ἐπήλυθον Ἰνδοί, ἁλμυρὸν οἶδμα πλέοντες,
νηυσὶν ὁμοῦ χρυσόν τε καὶ ἄργυρον εἰςφορέοντες.
τοῖς δ᾽ ἐπὶ νῆες ἕποντο ἀπείριτοι· αἱ δ᾽ ἄρα ἦσαν
μακραί, φορτίδες, ἱππηγοί, πρὸς δ᾽ αὖτε πορεῖα
ἄλλα τε εἴδεα νηῶν. τοὶ δ᾽ ἀπέβαινον ὦκα·
τοὺς δ᾽ οὐ Τροίη χάνδανεν οὔτ᾽ ἄρα Τρώϊον οὖδας,
καὶ τότε μὲν φυλάκεσσιν ἐεργμένοι ἔνθα καὶ ἔνθα,

208. ἔνθα ἑ libri omnes (Cf. v. 526). ἔνθαδε vg. λεῖπε Vat. 210. ἐπὶ vg. 211. αἰακίδῃ Vat. (Cf. vv. 444. 463. 520). αἰακίδι Vind. αἰακίδα vg. 212. δεύτερον vg. 213. ἔπνευσαν vg. Correxit etiam Jacobs. 214. ἄπεισαν Vat. 216. ἐπιέσπετ᾽ Vat. ἐπὶ ἕσπετ᾽ Par. ἐπέσπετο Vind. ἐφέσπετ᾽ vg. 217. ὅση Vat. ὅσοι Vind. ὅσος vg. 221. ἦσαν Vind. 223. εἰσφέροντες Vind. 224. ἐπὶ] ἐνὶ Par. Vind. αἱ Vat. ἦν vg. 227. Τροία vg.

δορπήσαντες ἴαυον πάννυχα νήδυμον ὕπνον.
Ἀλλ' ὅτε δὴ λευκόχροος ἤρχετο Ἠριγένεια,
ἀνστάντες φορέοντο, πολύθροος ὦρτο δ' ἰωή.
ἵπποι δ' αὖτ' Ἀράβων ἐριαύχενες ἀγριοθύμων
ψηχόμενοι χρεμέθοντο, πελώρια γαυριόωντες.
αὐτὰρ ἐπεὶ Τροίηθεν ἀπὸ Πριάμοιο μελάθρων
ἔκθορε Μέμνων, ὄβριμος υἱὸς Ἠριγενείης,
Φοῖνιξ Πουλυδάμας τε καὶ ἄλλοι κοίρανοι Ἰνδῶν,
Δαρδανίωνες Τρῶές τ' ἠδ' ὅσα Τρώϊα φῦλα,
ἐς πεδίον κατέβαινον· στείνετο δ' ἔθνεα λαῶν.
ἥρως δ' ὀβριμόθυμος ἐφ' ἅρματος ἵστατο Μέμνων,
Πουλυδάμας δ' ἑκάτερθε καὶ ἄλλοι κοίρανοι Ἰνδῶν.
καὶ τότε χειρὸς πτύγματι λαὸν ἐκέκλετο Μέμνων
ἐς πόλεμον θωρήσσεσθαι, ἀράβιζε δὲ τεύχη
Ἰνδῶν εἰλομένων θωρησσομένων τε τάχιστα
ὅπλοις νηγατέοισι καὶ ἀσπίσι τεσσαραπλεύροις.
ἀλλ' ὅτε δὴ θωρήχθησαν Τρῶές τε καὶ αὐτοί,
ἔστασαν ἐν τελέεσσι παρ' ἡγεμόνεσσιν ἕκαστος.
Ἀργεῖοι δ' ἑτέρωθεν ἐθωρήχθησαν ἀνάγκῃ.
εὖτ' ἄρα ἠελίοιο μένος σκιδάσκεν ἀρούρας,
σύμβαλον ἀλλήλοισι, πολὺς δ' ἐπέην ὀρυγμαδός

229. πάννυχον vg. 231. δ' deest vg. 233. ψυχόμενοι Vind. 237. δαρδανίωνες Par. Vat. δάρδανοι Vind. Δάρδανοι vg. ὅσσα vg. 239. ὀμβριμόθυμος vg. ἐν Vat. ἅρματος Par. ἅρματι vg. 240. θ' vg. ἀνδρῶν Vat. 241. πτύγματι Vat. πτύγματι vg. τότε κηρυκεύματι coniic. Jacobs. 248. ἆρ δ' Vat. σκιάασκεν Vat. σκίασκεν Par. ἐσκίασεν vg. ἐσκίδνατ' coniic. Jacobs. 249. ἐπέην ὀρυγμαδός Par. Vat. ὄρωρεν ὀρυμαγδὸς Vind. ὀρυμαγδὸς ὀρώρει vg.

μαρναμένων ἀνέρων· νέκυες δ᾽ ἄρα πλῆθον ἁπάντῃ
φύρδην ἀμφοτέρωθεν, ἀπ᾽ Ἀργείων δὲ μάλιστα.
ἔθνεα δ᾽ ἔῤῥεεν Ἰνδῶν καὶ Ἀράβων μεγαθύμων
πάντοθεν ἐκχύμενα· τοὶ δ᾽ ἐν μέσῳ ἄλγεα πάσχον
Ἀργεῖοι, πολυτειρέα δ᾽ αὐτῶν λύετο γοῦνα.
ἔμπης δ᾽, οὐκ ἐθέλοντες, ὑπὲρ ψυχῶν μαχέοντο,
εἰσόκε γειαρότης μὲν ἀνὴρ ἀπεπαύσατο πόνων,
ἐκ δὲ βόας ἀρότροιο ἐλύσατο πολλὰ καμόντας.
καὶ τότε Τρωϊὰς ἠδ᾽ Ἀράβισσα χαῖρεν Ἐνυώ·
πᾶν γὰρ Τρώϊον οὖδας Ἀχαιῶν πλήθετο νεκρῶν.
κάππεσε γὰρ πρώτιστος ἀπ᾽ Ἀργείων βασιλήων
Μεμνονέης χείρεσσι, κατάντιον οἷος ἐπελθών,
Ἀντίλοχος μεγάθυμος, Νέστορος ὄβριμος υἱός,
τὸν πάντες φιλέεσκον, Ἀχιλλεὺς δ᾽ ἔξοχον ἄλλων,
οὕνεκα κραιπνὸς ἔην, νέος, ἄλκιμος, εἶδος ἀγητός,
ἐν πινυτῇ δ᾽ ἄρα καὶ μύθοις προφέρεσκε γερόντων.
τῷ δ᾽ ἐπὶ ἄλλοι Ἀργείων πέσον ἡγεμονῆες.
καὶ τότε δὴ πάντες, νῶτα Τρώεσσι βαλόντες,
φύρδην συγκλονέοντο καὶ αἵματι γαῖαν ἔδευον.

250. ἁπάντη Vat. ἅπαντα vg. 251. ἐπ᾽ Ἀργείων μάλιστα vg. 252. ἔῤῥειν Par. Vat. κ᾽ Ἀῤῥάβων vg. 255. περὶ Vat. ψυχῆς ἐμάχοντο vg. 256. γειαρότης Vind. ἐπαύσατο vg. Extrema vox deest Par. 257. ἀρότοιο Par. Vat. ἀμέτοιο Vind. Correxit Jacobs. ἐλύσσατο vg. καμόντες Vind. 258. χαῖρεν᾽ vg. 261. Vocis Μεμνονέης primae syllabae deerant Vind. κατεναντίον vg. Correxit Jacobs. ἀπελθὼν Par. 262. υἱὸς vg. 263. ἔξοχα vg. 266. Vocem Ἀργείων cum in extremo versu haberet Vind., Ἀχαιῶν rescripsit Jacobs.

Digitized by Google

ὡς δ' ἀπὸ μιλτόχροοιο ἀπ' οὔρεος ἠνεμόεντος
ταυροθρόος χειμάρροος ὑσπέτῳ ἔρχεται ὄμβρῳ,
ἐσφορέει δὲ πέτρους μεγάλους καὶ κάγκανον ὕλην,
βένθυ δ' ἄρα κτυπέων λιθόχροος ἔμπεσεν ἀγροῖς,
πάντα δ' ἀναρπάζων φύρδην φορέησι θαλάσσης,
ζεύγεα, βοῦς καὶ δώματα, πρὸς δ' ἄρα γειαρότηρας,
ἄλλα τε ἅσσα κίχησιν· ἀμηχανίη δ' ἄρ' ἀγροίκων·
ὡς τότ' Ἀχαιοὶ φύρδην ὑπ' Ἀράβων κλονέοντο,
κυανέη δ' ἄρ' ἐν αἵματι πάντῃ πόρφυρε γαῖα,
οἱ δ' Ἄραβες κατόπιν μεγάλῳ σεύοντ' ἀλαλητῷ·
οὐδέ τι μῆχος ἔην· πάντες γὰρ φεῦγον Ἀχαιοί.
μοῦνος ἀπ' ἄλλων Νέστωρ Μέμνονος ἤλυθεν ἄντα,
υἷος ἀχνύμενος· μέγα δ' ἔστενεν ἔνδοθι ἦτορ.
σὺν δ' ἄρα οἱ ὁ Κόιντος ἔην πέλας, ὃς ἐπάκουεν
Μέμνων ὅσσα ἔειπε γέροντ' Ἀραβηίδι φωνῇ.
τὰς δ' ἐγὼ τελέθων δέ, Ἰσαακίοιο φραδαῖσιν,
ὅς μ' ἀπὸ Βερροίης ἐριβώλακος ἠδὲ Σελάων
πεζὸν ἔπεμψε νέεσθαι, ἐμεῖο ἵπποιο ἀμέρσας
ἧς ἀλόχου βουλῇσι σαόφρονος, ἢ οἱ ἅπαντας

269. μιλτοχρόου ἀπὸ vg. de coniect. Jac.: Vind. enim μιλτόχροοιο. 270. χειμάρροος Vat. χειμάρρους vg. 271. δὲ deest vg. 272. μιλτόχροος malebat Jacobs. 273. ἐναρπάζων vg. φορέησι vg. 275. κίχησιν vg. δ' ἀγροίκοις vg. 276. ὑπ' Ἀρραβίων vg. 278. σεῦον Vat. σεῦον Par. ἐρύγμηλῷ Par. Vat. 279. οὐδ' ἦν vg. 282. ἐπάκουσε vg. 283. τόσσα Vat. γέρων τε Vat. ἀμειβὴν Par. 284. ἰσαακίοιο Par. 285. βερροίης Par. Vat. βορροίης Vind., unde Βερροίης fecerat Jacobs. ἠδ' ἴσε λάων Vind. 286. ἔπεμψε νέεσθαι Par. Vat. ἔπεμπε γενέσθαι vg. Veram lectionem coniectura assecutus erat Jacobs. Versu 287. caret Par. οἱ] τις Vat.

κύδηνε [illegible] τε καὶ [illegible] υἷας
οὕνεκά οἱ καλῶς καταθύμια πάντα ἔρεζον
φεῦγον οὐδ' ἐσάκουσαν τὰ Μέμνων ἐξερέεινεν.
Ἀλλ' ὅτε νὺξ δνοφερὴ γαῖαν ἐπιδέδρομε πάντη,
δῆριν αἱματόεσσαν ἀμαιμακέτοιο πολέμοιο
παῦσαν οὐκ ἐθέλοντες Ἀράβων ὄβριμοι υἷες·
ὠκύαλοι δὲ νέες φύγον Ἡφαίστοιο ὁμοιωθῆς
αὐτοί τ' Ἀργεῖοι Δαναοὶ ὑπὸ κῆρας ἄλυξαν·
νυκτὶ δ' ἐρχόμενες εἵατο τεύχεα πάντες ἔχοντες,
εἵατο τεύχε' ἔχοντες ὕπνος ἀπὸ τοῖσιν ὄλωλεν.
Ἀλλ' ὅτε δὴ χρυσόθρονος ἤλυθεν Ἠριγένεια,
ἀνστάντες ἀέκοντες ἔριν ῥήγνυντο βαρεῖαν·
Μέμνων γὰρ ἐπόρουσεν ἀλίγκιος υἱεῖ Γαίης
Τυφῶνι ὀλοόφρονι ἔλπετο δ' οἷα ἐώλπει,
Ἀργείους ὑπὸ πάντας ὀλέσσειν ἤματι κείνῳ.
ὧδε μὲν ἐφρόνεεν, ἐπὶ δ' ἅρματι ὀξέα κλάζων
κυδιόων θύνεσκεν ὄπισθεν δ' ἔσχε λαός·
τὸν δ' ἄρα Πηλείδης καὶ ἀμαιμάκετόν περ ἐόντα
στέρνῳ ἐνὶ στιβαρῷ κατεναντίον οὔτασεν ἔγχει·
ψυχὴ δ' ἐκ μελέων ἀποέσσυτο ἠΰτε καπνός.
Τοῖον Μεμνονίδης κεφαλῆς μόρον ἐξερέουσιν.
οἱ δ' υἱὸν Τελαμῶνος ἀείδουσ' ὀβριμόγυιον,

288. κύδηνε δὲ Par. 289. Hunc quoque versum omittit Par. 290. ἐσάκουσε Par. ἃ vg. 293. Ἀράβιοι vg. Correxit etiam Jacobs. ὄμβριμοι vg. 295. δ' vg. 303. ἐπὶ δ' ἅρματι ὀξέα κλάζων. Haec desunt Par. 304. θύνεσκεν Vat. θορέσκεν Par. θέρεσκεν vg. 308. Μεμνονίδης Par. Vat. ὀβριμόγυιον Par. Vat. ὄμβριμον υἱὸν Vind. ὀμβριμόθυμον vg.

δῆριν ἀμαιμάκετον καὶ σχέτλια ἔργα ἰδόντες
εἴπεμεν Ἀτρείδῃ καὶ ἀριστήεσσιν Ἀχαιῶν·
Ὑμεῖς μὲν πάντες μετὰ ἔθνεα βαίνετε Ἰνδῶν,
αὐτὰρ ἐγὼ κατέναντα Μέμνονος οἶος ἐπέλθω.
Ὣς εἰπὼν ἀνάειρε πελώριον ὑψόσε σάκος,
τοῖο δ' ἐν ὤμοις καλὸν φάσγανον ἠώρητο,
δεξιτερῇ δὲ φέρων δόρυ Μέμνονος ἤλυθεν ἄντα.
Μέμνων δ' ὡς ἐνόησεν, ἀφ' ἅρματος ἆλτο χαμᾶζε.
συμπεσέτην δ' ἀλλήλοισι, μέγα δ' εἴδετο ἔργον
οὐταζόντων ἀλλήλους, ἀράβιζε δὲ τεύχη.
ὡς δὲ δύω ταῦροι παρ' ὀρεσκώοισι κολώναις
ἄγριοι, ἀμφ' ἀγέλαις ἑκάτερθεν δηριόωντες,
πρῶτα μὲν ἐκ σταδὸν ἀμφὶς ἕκαστος οἷος ὀρούει
ἐς στυφελάς πέτρας τε καὶ οὔρεα ὑψικάρηνα,
ἀλλήλους ποτὶ ταύρειον μόθον ἐκκαλέοντες,
μυκτῆρα πλατὺν οἴξαντες, βαρύδουπα βοῶντες,
αὐτὰρ ἔπειτ' ἀλλήλους βάλλουσιν κεράεσσιν,
ἀμφὶ δ' αὖτε πελώριος ῥῦρος ἔρχεται ἄκρας·
ὣς τῶν μαρναμένων σακέων ἄπο δοῦπος ὀρώρει.
ὡς δὲ λέων Αἴας ἐπιάλμενος ἀσπίδα νύξεν,
οὐδ' ἔτορεν κρατερὸν σάκος, ἀλλ' ἄρα Μέμνονα κλῖνεν·
αὐτὰρ ἔπειτα ἑὸν σάκος Αἴας ὑψόσ' ἀείρας
πλῆξεν ἀνασχόμενος, ἐπέβρισεν δ' ὄβριμον ἄνδρα.

τοῦ

319. ἀλλήλοις Vind. 320. δύω Vat. δύο vg. ὀρεσκώοισι κολώναις Vind. 322. Vox οἶος deest vg. quare δινεῖν inserendum esse conjic. Jacobs. 328. σάκεος vg. 329. ἐπιάλμενος vg. 331. Αἴας deest vg. 332. ἐπέβρισεν Par. ἐπιβρισε vg.

Digitized by Google

τοῦ δὲ ποδῶν κατόπισθεν ἐφέσπετο δῖος Ἀχιλλεύς,
κρύβδην δ' αὐχένι Μέμνονος ἤλασε χάλκεον ἔγχος·
τὸν δὲ λίπεν ψυχή. Αἴας δ' ἕλε Πουλυδάμαντα,
ἡγεμόνα Φοινίκων· φέσσαν δ' ἔθνεα Ἰνδῶν,
ὡς δοιοὺς βασιλῆας ἑοὺς νεκύεσσιν ἐςεῖδον.
πῖπτον δ' αὖ πολέες σωρηδὸν ἄλλος ἐπ' ἄλλῳ,
αὐτοί θ' ὑφ' αὐτῶν καὶ Ἀχαιῶν χαλκοχιτώνων·
φύζα γὰρ εἶχεν ἅπαντας ἰωχμοῖο κρατεροῖο,
ζῶντες δ' ἐν νεκύεσσιν ἐρητύοντο φέβεσθαι.
Ἀργεῖοι δ' ἄρ' ὄπισθεν ἐπ' ἔντεα πάντα λέγοντο,
ἐμμενέως κτείνοντες, ἕως νὺξ ἄμβροτος ἦλθεν.
ὄρφνῃ δ' αὖτε ἑοὺς ἑκάτερθε κέαντο νεκρούς.
Μέμνονα δὲ σμύρνῃ τε καὶ Ἀσσυρίῃ φρυγανίδι
Αἰθίοπες ταρχεύσαντες θέσαν ἀμφιφορῆϊ·
ὡς δ' ἄρα Πουλυδάμαντα καὶ ὕστερον οἴκοι ἔνεικαν.
Τροίῃ δὲ στοναχή τε καὶ οἰμωγὴ τελέεσκεν·
Τρῶες γὰρ μεγάθυμοι, ἐελμένοι ἔνδοθι πύργων,
δυςπονέως στενάχοντες ἑοὺς γοάασκον ἑταίρους.
Οὔπω δακρυχέουσιν ἐπ' ὄμμασι δάκρυα τέρσεν,
ἐκ δ' ἦλθον αὖθις, πυλέων πετάσαντες ὀχῆας,

334. αὐχένα vg. de coniect. Jac. 339. δ' vg. 340. ἔσχεν Vat. 342. καλὰ vg. λέγοιντο Vind. 344. ὀρφνίῃ Vind. ἑκάτερθε κέαντο νέκρους Vat. ἑκάτερθεν κἄιαντο νεκρούς Vind. ἑκάτερθε νεκροὺς κήαντο coniic. Jacobs. Parisinus haec tria vocabula omittit. 346. ταρχύσαντες vg. 347. δ' deest vg. οἴκοι Par. οἶκοι Vat. ὂν Vind. αὐτὸν vg. 348. τελέεσκεν libri omnes. τελέεσκε vg. (Cf. A. 63. H. 350). 550. γόασκον Vind. 351. οὔποτε vg. δακρυχέουσιν Par. δακρυχέοντες vg. δάκρυ Vind. τέρσεν Par. τέρσαν vg.

Δηΐφοβος, Πάρις ἠδὲ Τρωΐλος ἱππιοχάρμης
ἔθνεσι σὺν πολίεσσιν, Ἀχαιῶν ἄντα μάχεσθαι.
τοὺς δ᾽ Ἀχιλεὺς ἐνέηκε ποτὶ Ξάνθοιο ῥέεθρα,
κτείνων ἐμμενέως· ὥς δ᾽ αὔτως ἄλλοι Ἀχαιοί.
καί ῥ᾽ οἱ μὲν φύγον ὄβριμον ἔγχος Πηλείδαο,
Δηΐφοβος καὶ Δύσπαρις· αἶψα δ᾽ ἄρ᾽ εἷλε Τρωΐλον,
ὃς πένθος Τρώεσσιν ἐπ᾽ ἴσης Ἕκτορι θῆκεν
ἠνορέῃ καὶ κάλλεϊ ἠδέ τε ἄνθεϊ ἥβης.
Ἀλλ᾽ ἄρα καὶ Τρώων βασιλήων φράζεο μορφήν,
σὺν τοῖς καὶ τοῖο Τρωΐλου ἱπποδάμοιο.
ἤτοι μὲν Πρίαμος σύνοφρυς, μέγας ἠδὲ μακρόῤῥις,
γλαυκιόων, πυῤῥόχρους, εἴδεϊ δ᾽ ἦεν ἀγητός,
εὔστολος, εὐόφθαλμος, πυκνὰς δ᾽ εἶχεν ἐθείρας.
ἡ δ᾽ Ἑκάβη μελίχροιος ἔην, εὔριν, ὡραίη,
ἡλικίῃ τελέῃ, φιλότιμος, ἥσυχος αὔτως.
Ἀνδρομάχη δ᾽ ὡσαύτως, γοργὴ δ᾽ ἦν, μεσοήλιξ,
μάκροψις, χαρίεσσα, παρήϊα δ᾽ εἶχε γελῶντα.
Κασσάνδρη δ᾽ ἄρ᾽ ἔην βαιὴ δέμας, ἀνδροόμοιος,
λευκοτέρη γλάγεος· περιηγέας εἶχεν ὀπωπάς,
ὀγκώδεις δ᾽ ἔχε μαστούς· μικρόπος, ἥσυχος ἦεν.
τῆς δ᾽ Ἕλενος κάσις εὔθετος ἦν, μακρός, ἀρχιγένειος.

353. ἱππιοχάρμης Par. ἱπποχάρμης vg. 354 Ἀχαιῶν Par. Ἀχαιοῖς vg. 355. δ᾽ deest Vind. 356. αὔτως δ᾽ Par. 357. ὄμβριμον Par. 358 ἄρ᾽ deest vg. 359 ἐπ᾽ ἴσον vg. 360. ἠδὲ καὶ vg 361 φράζω Par. 362. τοῖο deest Par. 363. μέγας deest vg. 364. πυρόχρους Vat. 366. ἡ] ἐν Vind. 368 δ᾽ deest vg μεσήλιξ Par 369. παρηΐδα vel παρήϊδα libri omnes. Quod non videbatur ferendum. δ᾽ ex Par. accessit. 370. ἀνδρὶ ὅμοιος Par. 373. δ᾽ deest vg. ἀρτιγένειος vg.

λευκός, ξανθοκόμης, μακρόῤῥιν, εἴδεϊ λεπτός·
νῶτα δὲ τοῖο ἔαγεν ὑπήρεμα, λῆθε δὲ πολλούς.
Δηΐφοβος δ' ἄρ' ἔην ἥβῃ μέσος, εὐρυμέτωπος,
σίμαλος ἠδὲ μελάγχρους, εὔωψ, ἠϋγένειος.
Αἰνείας δ' ἄρα βαιός, ἀτὰρ παχύς, εὔστηθος πέλε,
γλαυκός, λευκόχρο[illegible] ἀναφάλας, εὐρυμέτωπος.
Ἀντήνωρ δὲ μακρός, ῥαδινὸς πέλεν ἠδὲ γλαγόχρους,
γλαυκός, ῥῖνα φέρων καμπύλην, ξανθοέθειρος.
Τρωΐλος αὖ μέγας, ὠκὺς ἦν, μελανόχροος, εὔριν,
εἴδεϊ δ' αὖ χαρίεις, δασυπώγων, τανάεθειρος.
τὸν δ' Ἀχιλεὺς κατέπεφνε παραὶ Σκαμάνδροιο ῥοῇσιν.
Αὐτὰρ ἐπεὶ καὶ ἀρήϊον εἷλεν μοῖρα Τρωΐλον,
ἐγγὺς ἔην θάνατος Πηληϊάδῃ Ἀχιλῆϊ,
ὕστατα γαμβρεύοντι παραιφασίῃσι Πριάμου.
ἦτοι γὰρ Πριάμου ποτὶ δώματα δῖος Ἀχιλλεύς
ἤρχετο πολλάκι Πουλυξένης εἵνεκα νύμφης,
τήν οἱ ὑπέσχετο δωσέμεν, ὄφρα μόθου ἀπολήξῃ·
ἀλλ' ὅτε δὴ Τρῶες παρὰ Θύμβρῃ θῦον Ἀπόλλῳ,

374. λεπτός Par. Vat. λεπτός vg. (Cf. v. 527. Schaefer. ad Dionys. Hal. de compos. verb. p. 132). 378. αὐτὰρ Vat. εὔστηθος πέλε Par. Vind. πέλεν εὔστηθος Vat. εὔστηθος ἔπλε vg. de coniect. Jac. 379. λευκόχροος, ἀνάφαλος vg. 380. γλαγόχρως vg. 381. κάμπυλον vg. 382. αὖ Vat. δ' αὖτε vg. μελανόχροος εὔρριν Vat. μελανόχρως solum habet vg. Parisinus autem et hunc versum et 383 omittit. 384. περὶ Par. Ξάνθοιο coniic. Jacobs. ῥέεθρα Vat. (ῥοῇσι) 389. πουλυξένης Par. Πολυξένης vg. Πολυξείνης malebat Jacobs. 390. μόθου Par. μοθὸν vg. πολέμου Vat. 391. παρὰ omittit Vat. Θύμβρον vg. (Cf. 405.)



Digitized by Google

Ἰδαῖον προέηκαν ἐπ' Αἰακίδην Ἀχιλῆα,
ἐς νηὸν καλέοντα· ὁ δ' αἶψα μάλα πιθήσας,
γυμνὸς ἐὼν καὶ ἄνοπλος ἐπήλυθεν ἔνδοθι νηοῦ.
Δηΐφοβος δ' ἄρα χερσὶ περίβαλεν οἷά τε γαμβρόν,
Δύσπαρις αὖτε μάχαιραν ἐπήλασεν ἔγκασι φωτός·
αὐτὰρ ὁ τοῖος ἐὼν ἥρως πέσεν ἀφραδίῃσιν.
ὥστε λέων πέσεν ἐς βόθρον ὑπ' αὐτῆς ἐρίφοιο,
εὖτ' ἄρα μιν παραπλάγξωσιν θηρήτορες ἄνδρες,
ὣς πέσεν ἀφραδίῃσι πελώριος ὄβριμος ἥρως.
Αἶψα δ' ἄρ' ἐς πόλιν ἐκ νηοῦ φοβέοντο φονῆες.
τοὺς δ' Ὀδυσεὺς ἐνόησε ποτὶ πτόλιν αἶψα θέοντας,
Τυδείδῃ δὲ καὶ Αἴαντι ποτὶ μῦθον ἔειπεν·
Ἡρώων ὄχ' ἄριστοι, τέκνα κλυτῶν γενετήρων,
δεῦτε ποτὶ Θύμβρην, καὶ σχέτλια ἔργα ἴδωμεν·
οἶμαι, Πηλείδης παρὰ νηὸν κάτθανε Φοίβου.
πολλὸν ἄπεστι χρόνον, φεύγουσι δὲ Τρῶες ἐς ἄστυ.
Ὣς ὁ μὲν εἶπεν Ὀδυσσεύς, τοὶ δὲ θέοντες ἔβαινον.
ἀλλ' ὅτε δὴ κατὰ νηὸν Θυμβραίοιο γένοντο,
εὗρον ἔπειτ' Ἀχιλῆα πελώριον ἐν κονίῃσι,
λοίσθια φυσιόωντα παραὶ θανάτοιο πύλῃσι.
τοὺς δὲ ἰδὼν δάκρυσε καὶ ὕστατον ἔννεπε μῦθον·
Ὦ φίλοι, οὔ τι τόσον στενάχω θανάτοιο τελευτήν

392. προέηκας Vind. 394. ἄοπλος vg. 395. περίβαλε vg. 396. ἔγκατα vg. Correxit etiam Jacobs. 398. εἰς vg. αὔτης Par αὐτῆς vg. 399. ἄρ Par. παραπλάξωσιν Vat. παραπλάζουσιν vg. θηρευταὶ Par Vind 401. εἰς vg. φεύγοντο vg. 404. κλειτῶν vg. 405. δεῦτ' ἴομεν Par. 406. οἴμοι vg 407. ἐς Par ἐκ vg. τοῖο φονῆες Vat. 411. παρὰ Vind. 412. δ' Vind.

ἥβην τ' ἀνθεμόεσσαν ἰδ' ἠνορέην ἐρατεινήν,
οὔ τι τόσον ταῦτα στενάχω, φίλοι, οὐδ' ἀκάχημαι —
κοιναὶ γὰρ μοῖραι πᾶσιν θανάτοιο τελευτῆς,
πολλοὶ δ' αὖ θάνον, ἠμὲν τοῖοι, ἠδέ τε τοῖοι —,
ἀλλὰ τό μοι ἄχος, ὅττι με τοῖος Δύσπαρις ἔκτα.
ἀλλ' ὑμεῖς Πατρόκλῳ με καὶ Ἀντιλόχῳ μεγαθύμῳ,
εὖ μάλα κοσμήσαντες, ἐπὴν κατὰ μοῖρα λάβῃσι,
χρύσεον ἐς μητρῷϊον ἔνθεσθ' ἀμφιφορῆα,
ὡς ἂν μηδὲ θανών γε φίλων ἀπάτερθεν ἐσοίμην.
Ὣς εἰπὼν ἀπέπνευσε μέγα στέρνοιο φυσήσας.
Αἴας δακρυχέων δὲ νέκυν ὤμοις ἀναείρας
ἔκφερεν ἐς κλισίας, μετόπισθε δὲ Τρῶες ἔβαινον,
τὸν νέκυν ἐξ Αἴαντος ἀφαρπάσαι ἐμμενέοντες.
ἀλλ' ὃ μὲν ἐν κλισίῃσι φέρων λεχέεσσιν ἔθηκε,
κοσμήσας σὺν ἅπασιν Ἀχαιῶν ἡγεμόνεσσιν.
ἄλλοι δ' ὧδ' ἐρέουσι· θανόντα Τρῶες ἐπέσχον,
Ἀργείοις δὲ δόσαν, λύτρα Ἕκτορος αὖθις ἑλόντες.
καὶ τότε τὸν κοσμήσαντες δῖοι Παναχαιοὶ
ἔκφερον ἐν λεχέεσσι κεκασμένον εὖ κατὰ κόσμον,
Ἀργεῖοι δ' ἐν ὅπλοισι κεκασμένοι ἐστιχόωντο
φαλαγγηδόν, πεζοί, πάντες δακρυχέοντες.
Μοῦσαι δὲ στονόεσσαν ἐπέβρεμον ἄπλετον ἠχήν,

414. τ' Par. δ' vg. 417. ἠμὲν Par. Vat. οἱ μὲν vg. ἠδέ τε Vat. Vind. ἠδὲ Par. οἱ δέ τε vg. 418. ἄλλο vg. 422. μὴ Vind. φίλοι Vind. 423. μέγ' ἐκ coniic Jacobs. 424. δὲ deest vg. 425. ἔφερεν vg. 426 ἐμμενέοντες libri omnes. ἐμμεμαῶτες vg. 428. πᾶσιν Par. 432. κόσμον Vat. (Cf. H. 444. P. 45. 637 et 652). μοῖραν vg.

αὐλοῖς καὶ φόρμιγξιν. ὁ δ' ἐν λεχέεσσιν ἔκειτο,
ἀστράπτων ἐν ὅπλοισι· τὰ γὰρ περὶ φέρτρον ἔκειτο.
στρωμνῆς δ' αὖτε πέλας βασιλῆες ἴσαν Ἀχαιῶν.
ἵπποι δὲ πρυλέων προπάροιθεν ἐστιχόωντο
Ἀργείων βασιλήων· αὐτοῦ δ' αὖτ' Ἀχιλῆος,
κόσμον ὑπαυχένιον τετμημένοι, ἐγγὺς ἕποντο.
ἅρμα δὲ τοῖο φέρεσκε χρύσεον ἀμφιφορῆα,
ὀστέα Πατρόκλοιο καὶ Ἀντιλόχοιο φέροντα,
τῷ ἐνὶ Πηλείδῃ θήσειν ἐθέλεσκον Ἀχαιοί.
Μυρμιδόνες δ' ἑκάτερθε μελάμπεπλοι ἐφέποντο,
πάντες ἐπ' ἀσκεπέες, περὶ κόρσας τέφραν ἔχοντες.
ληϊάδες δὲ γυναῖκες ὅσαι Τρώων παρ' Ἀχαιοῖς,
φέρτρου ἴσαν μετόπισθε, Βρισηΐς θ' Ἱπποδάμεια
κλαίουσα λιγέως δουρικτήτη περ ἐοῦσα.
Ἀλλ' ὅτε νισσόμενοι ποτὶ πυρκαϊὴν ἀφίκοντο,
ἐν δὲ μέσῃ νέκυν ἥρωες θέσαν εἷο ἑταίρου,
αὐτίκα Νηρῆος κοῦραι, μέγα κῦμα θαλάσσης,
ἐξ ἁλὸς ἤϊξαν, μόρμυρε δὲ πόντος ἀπείρων.
ἥρωες δὲ φόβηθεν Ἀχαιοὶ τάσδε ἰδόντες,

436. καὶ Par. Vat. ἢ vg. 437. παρὰ Vat. 438. ἴσαν Vat. ἦσαν vg. 441. Praestabat ἐπαυχένιον. τετιμένοι Vind. 442. φέρεσκε χρύσειον Par. φέρεσκεν χρυσοῦν vg. 444. Πηλείδῃ Vat. Πηλείδην vg. (Cf. quae dixi ad v. 211). 445. ἑκάτερθε τῆς Ἀχιλλέως κλίνης Par. μελάμπεπλοι Vind. 446. ἐπασκεπέες Par. Vat. ἐπασκέπιδες vg. cum Vind. ἐπ' ἀσκεπέεσσιν κόρσαις coniic. Jacobs: κόρσαις enim, non κόρσας, vulgo legitur. τέφραν Par. τέφρην Vat. τέφρας vg. 447. καὶ Ἀχαιῶν vg. 448. φερτέρου Vind. qui supra quoque (v. 437.) φερτέρον. 449. δουρυκτήτη Par. δορυκτήτη Vat. 450. πυρκαϊὰν Par. 451. ἐν δὲ μέσῃ] ὧδε μόνον Par. ἑταίρου Par. ἑταῖροι vg.

τρέσσαν δ' ἄλλη ἄλλος, ὅπῃ νόος ὦρσεν ἕκαστον,
ἐλπόμενοι κλόνιον Σεισίχθονα, κυανοχαίτην,
ἐς γαῖαν ἐλάαν ἐρίδουπον ἅρμα καὶ ἵππους·
Νέστωρ δ' αὖ κατέρυξεν, ἐπέσχε τε φύζαν ἁπάντων.
ταὶ δ' ἄρα σὺν Θέτιδι παρὰ Σιγεῖον παριοῦσαι,
κοψάμεναι μέγα τὸν νέκυν, ἐς βυθὸν αὖθις ἵκοντο.
τῶν δ' ἄρ' ἀναξυρίδες καὶ ἡρώων περ ἐόντων
θείην ἐκ θεέων εὐώδεα πνεῦσαν ἀϋτμήν.
Πηλείδη δ' ἐπεὶ ἄρ κατέδαψε σιδήρειον πῦρ,
θῆκαν σὺν Πατρόκλῳ τε καὶ Ἀντιλόχῳ μεγαθύμῳ
Ἀργείων οἱ ἄριστοι Σιγείοιο παρ' ἄκρας,
χρύσεον ἐς φιάλην, καθύπερθε δὲ τύμβον ἔτευξαν,
ἔνθ' ἄρα Πατρόκλοιο τετεύχατο σῆμα πάροιθεν.
Ἀλλ' ἤτοι αἰὼν καὶ μορφὴν φράζεο τῶνδε.
ἤτοι μὲν Πηλῆος ἀγαυοῦ φαίδιμος υἱός
εὐμήκης, εὔστηθος ἔην, χαρίεις περὶ πάντας,
λευκός, ξανθοκόμης, οὐλόθριξ, πυκνοέθειρος,
μακρόῤῥις, μελίγηρυς, κούρης δ' εἶχεν ὀπωπάς·
γοργὸς ἔην ὀφθαλμοῖς, ἐν δὲ δρόμοισι ποδάρκης·
μακρὰ δ' ἔχε σκέλεα, ὑπὸ δ' ἐσπάνιστο ὑπήνη.
Πάτροκλος δὲ προγάστωρ, εὐπώγων, μεσῆλιξ,
ξανθοκόμης, πυῤῥόχροος, εἴδει δ' ἦεν ἀγητός.

456. κλόνιον Par. Vat. κόνιον Vind. Κρονίδην vg. 457. περίδουπον vg. 458. κατέρυξεν Vat. κατέρυκεν vg. 459. ποτὶ Par. 462. θεάων Par. 463. ἄρ Par. Vat. ἂν vg. 470. πάντων vg. 473. ἦην ἐν vg. ἐν δὲ Vat. ἐνὶ Par. ἐν vg. Desideravit particulam Jacobs. 4 4. δ' ἐσπάνιστο Vat. δὲ σπάνιστο Par. δ' ἔσπανε vg. ὑπήνην vg. 476. ξανθόκομος, πυῤῥόχροος vg.

Ἀντίλοχος δὲ νεώτερος ἄλλων ἔπλεν Ἀχαιῶν,
εὐήλιξ, εὐαύχην, λευκὸς ἔην, μακρόῤῥις,
γοργὸς ἐν ὀφθαλμοῖσιν, ἀελλόπος, ἀρτιγένειος,
ξανθοκόμης, εὐχαίτης· γλαυκαὶ δ' ἦσαν ὀπωπαί.
Αὐτὰρ ἐπεὶ κτερέιξαν τοὺς δῖοι Παναχαιοί,
ὅπλ' Ἀχιλῆος ἔθεντο τὸν ὥριστον λαβέσθαι.
ἀνστάντες δ' Ὀδυσεύς τε καὶ Αἴας δηριόωντο.
χρησμοὶ δ' ἐκτελέοντο, κακὸν δ' ἀμφαίνετο Τροίη.
παῖδες δὲ Τρώων δορυθήρατοι ἦσαν Ἀχαιοῖς,
οἳ βουλῇ Δαναῶν τούτους κρίναντες ἄμ' ἄμφω
υἱέϊ Λαέρταο ἐπήρατα ὤπασαν ὅπλα,
φάντες ὑπὲρ Αἴαντα λυγρὰ Τρώεσσιν ἰάψαι.
Αἴας δ' αὖ λύπῃ βεβαρειὼς εἵνεκεν ὅπλων
ἦλθεν ἐπὶ κλισίας καί ἑ ἔκτανε χαλκεόθυμος.
ὣς θάνε· τῷ δ' ἄρα Ῥοιτείῳ πάρα τύμβον ἔτευξαν.
Ἀλλ' ἤτοι καὶ τοῦδ' ἥρωος ἄκουε μορφήν.
αὐτὲ ἔην, μέγας, εὔρις, εὔθετος, οὐλοκάρηνος,
κυάνεος χροιήν, βλοσυρῶπις, ἠϋγένειος·
κάλλεϊ δὲ προφέρεσκεν ἁπάντων πλὴν Ἀχιλῆος.
Τρίτον ἔην ἦμαρ ἀπὸ Πηλεΐδαο τελευτῆς,
Αἴανθ' ὁππότε τύμβευσαν μεγάθυμοι Ἀχαιοί.
καὶ τότε δή ῥα Πολυξείνη, κούρη Πριάμοιο,

477. ἔπλεν Vat. ἦεν vg. 479. ταχύπους Par. 482. ὥριστον libri omnes. ἄριστον vg. λαβέσθαι Par. Vat. ἑλέσθαι vg. 483. δ' deest vg. 484. ἀνεφαίνετο Par. Τροίη deest Par. 485. δουριθήρατοι Par. Vat. 486. τούτους Vat. τούτοις vg. 488. ἐφάψαι vg. 489. αὖτ' ἄχεϊ βεβαρημένος vg. de coniect. Jac. 490. κλισίης Vat. ἑ deest. Vat. χάλκεϊ θυμὸς vg. Quod corrigendum videbatur etiam Jac. 498. πολυξείνη Vind.

ἐννυχίη προμολοῦσα, φίλους προφυγοῦσα τοκῆας,
πολλὰ κλαυσαμένη περὶ τύμβου Πηλείδαο,
νυμφίῳ εὐγενέϊ καλὴ παρακάππεσε νύμφη,
εὐνῇ ἐν αὐτοκλήτῳ χάλκεον ὕπνον ἑλοῦσα,
Φλάβιος ὡς ἐρέει· τὰ δ' ἄρ' Εὐριπίδου ἀλλοῖα.
'Αλλ' ἄρα καὶ τῆς μάνθανε μορφῆς εἶδος ἀγητόν.
εὔωψ, μακρὰ ἔην, λευκή, πάνυ δουλιχόδειρος,
μικρόπος, ἀνθερόχειλος, καλλίμαστος, ἀρίστη·
ὀκτὼ καὶ δέκα δ' ἦν ἐτέων, χρόνος ἥλικος ἥβης.
κάτθανε δ' αὖτε κόρη ἢ οὕτως ἢ καὶ ἐκείνως.
'Αργεῖοι δ' ἐπεὶ ἔκθανον Αἰακίδαι μεγάθυμοι,
οἳ μέγα ἕρκος ἔησαν 'Αχαιῶν ἐν πολέμοισι,
χρησμοῖς ὦτα πετάννυον· ὅσσα δὲ τοῖσιν ἐπήει,
Παλλάδος εἴ κεν ἄγοιεν ἀπὸ Τροίηθεν ἄγαλμα,
Τροίην εὐρυάγυιαν ὑπ' ἔγχεϊ τῶνδε γενέσθαι.
καὶ τότ' 'Οδυσσεὺς νύκτωρ ἠδὲ πάϊς Τυδῆος
αὐτονυχεὶ κόμισαν, 'Αντήνορος ὦκα λαβόντες·
τοῖς γὰρ ἔην φίλος, ἠδὲ δάμαρ, ἱέρεια θεοῖο.
ὣς οἱ μὲν Δαναοὶ Τροίην δοκέεσκον πέρσαι.
Εὐρύπυλος δ' ἐπίκουρος Τρωσὶν ἐπήλυθεν αὖθις,
Τηλεφίδης μεγάθυμος, Μυσός, ἐπήρατος ἄναξ.
κτεῖνε δὲ πολλοὺς 'Αργείων 'Ασκληπιάδη τε,

499. φυγαῦσα Par. Vat. 500. Πηλείδεω vg. 501. περικάππεσε vg. 502. αὐτοκλίτῳ Vind. 503. φλάβιος Par. φλάυιος vg. 503. τάδ' Εὐριπίδου vg. 505. δολιχόδειρος vg. 507. δ' deest vg. 508. ἢ καὶ Vat. ἢ τί Vind. εἴτε vg. 512. ἕλοιεν Vat. 515. αὐτονυχὶ vg. ἐκόμισαν Par. 519. μυσῶν Par. 520. ἀσκληπιάδην, et a correctore ἀσκληπιαδῶν Par.

Digitized by Google

ἥρω ἰητῆρα, Μαχάονα, κάλλιμον ἄνδρα,
ὥς ῥα Κόϊντος ἔφη· ὁ δ᾽ ἄρ᾽ Ὀρφεὺς ἄλλ᾽ ἐπαείδει.
Καὶ τότ᾽ ἀπὸ Σκύροιο Νεοπτόλεμος θεοειδὴς
ἤλυθεν Ἀργείοισι, μέγα δ᾽ ἐχάροντο ἰδόντες.
ἀλλ᾽ ἤτοι καὶ μορφὴν μείρακος ἄιε τοῦδε.
πυῤῥὸς ἔην πολύ, τῷ καί ἑ Πύῤῥον μιν καλέεσκον·
εὐήλιξ, ὑπόγλαυκος, λεπτός, γλαγεόχροιος,
εὖριν, εὐθώραξ, τολμήεις, οὐλοκάρηνος,
εὔσκυλτος, πικρός, προπετής, μέγας, ἀγριόθυμος·
λάχνη δ᾽ οἱ χαρίεσσα ἐφύετο ἀνθερεῶνι.
ἤιε δ᾽ ἐκ Θέτιδος πατρώϊον αἷμα διώκων.
οἱ δ᾽ Ὀδυσῆ ἐρέουσιν ἀπὸ Σκύροιο κομίσσαι
χρησμοῖς, μαντοσύναισιν ἢ αὐτομόλοισιν ἀνάγκαις·
τῷ δ᾽ ἄρα καὶ πατρώϊα χρύσεα ὤπασεν ὅπλα.
θῦσε δ᾽ ἄρα πρῶτα πατρώϊον ἐς τάφον ἐλθών,
κειράμενός τ᾽ ἀνέθηκεν ἑὴν χρυσότριχα χαίτην
ἠδ᾽ οὓς ἐκ πάτρης ἔφερεν πλοκάμους γενετήρων,
μητρὸς Δηϊδαμείης ἠδέ τε πατροτοκήων.
αὐτὰρ ἐπεὶ δάκρυσεν ἔθυσέν τε τῷ ὅσσα ἐῴκει,
τὸν μὲν ἔπειτ᾽ Ἀτρείδης ἐν κλισίῃσι κατέσχε,

522. ὥς ἄρ Vind. 526. Secutus sum Par.; Vat. enim κέ habet et μὶν: Vind. γάρ κέ ἑ πύῤῥον καλέσκον: vulg. πολλοί τ᾽ ἄρα ἑ Πύῤῥον καλέεσκον 527. λευκὸς vg. 529. εὔσκυλτος Vat. εὔσκ λτος Par. ἄσκυλτος vg. ἄσκαλτος coniic. Jacobs, quod esse idem atque αὐχμηρός. π ερος Par. μέγα vg. 531. ἆσμα Par. Vat. 532. ὀδυσῆ Par. 533. αὐτομόλοισιν ἀνάγκαις Par. αὐτομόλοις ἀνάγκαισιν Vat. αὐτομόλησιν ἀνάγκῃ vg. 536 δ᾽ vg. 538. Δηϊδαμείας vg. πρωτοτοκήων vg. 539 ἐπεὶ deest vg. δάκρυσιν vg. ἔθηκέ Par. τε deest vg. 540. ἔπειτ᾽ Vat. ἔπειτα vg.

δῶρα δὲ δοὺς ἀπέπεμψε ποτὶ κλισίας Ἀχιλῆος.
ἐν δὲ Βρισηῒς πάντα πατρώϊα χρήματα δεῖξε,
χήρατο δ' ὡς ἐνόησε καὶ ἔδρακεν ὡς φίλον υἷα·
ὃς δ' ὡς μητέρα τίεσκεν καὶ ἔχεσκε παρ' αὐτῷ.
Αὐτὰρ ἐπεὶ καμάτου ἀνεπαύσατο αἰόλα γυῖα,
ἑσσάμενος ῥεθέεσσι πατρώϊα χρύσεα τεύχη,
ἐς δίφρον τ' ἀναβὰς σὺν γ' Αὐτομέδοντι ἑταίρῳ,
Ἄρεϊ χαλκοχίτωνι ἀλίγκιος ἐς μέσον ἔστη·
Μυρμιδόνες δ' ἑκάτερθε καὶ Ἀργεῖοι στιχόωντο.
Τρωσὶ δὲ πρῶτος ἔλασσε πατρώϊον ἅρμα καὶ ἵππους.
οἱ δ' ὡς εἶδον, ὑπέτρεσαν· ἀμφασίη γὰρ ἐπίσχεν
οἰομένους Ἀχιλῆα πελώριον αὖθις ὁρᾶν.
Μυρμιδόνες δὲ καὶ Ἀργεῖοι κεραΐζον ὄπισθεν.
αὐτὸς δ' αὖ Μελάνιππον Μυσῶν ἡγεμονῆα
ἠῢν πέφνε, φίλον γόνον Ἰστριάδαο Ἑλώρου.
Ἀλκιδάμαντα δ' ἔπειτα ἀνεψιὸν ἔκτανε τοῖο,
υἱὸν ὑπερθύμοιο ποδώκεος Ἀκταίοιο.
κτεῖνε δὲ Τηλεφίδην, Ἱέρης γόνον ἐγχεσίμαργον,
ὃς μέγα κυδιάασκεν, ἄναξ δ' ἄρα ἦεν ἐκείνων.
ὡς γάρ μιν ὀλέκοντα ἑοὺς ἐνόησεν ἑταίρους
Τηλεφίδης μεγάθυμος, ἀτάσθαλος, ὄβριμος ἥρως,
ἦλθε Νεοπτολέμοιο καταντίον ἔγχεος αἰχμῆς.
τοῦ δ' ἄρα παῖς Ἀχιλῆος ἀτάσθαλον ἦτορ ἀπηύρα,

543. χήρατο Vat. ἥρατο Par. χρήματα vg. ὡς ἐνόησε Par. Vat. ἐς ἐνόησε Vind. ὅσσα ἔνησε vg. ἔδραμε φίλον Vind. 544. ὃς Vat. ὁ vg. 545. καμάτῳ vg. 547. σὺν γ' Αὐτομέδοντι ἑταίρῳ] Haec omittit Par. 549. ἐστιχόωντο Par. 550. ἔδειξε vg. 551. ἀφασίη Vat. Vind. 553. τε vg. 561. ὄβριμος deest Vat. 562. κατεναντίον Vind. ἔγχει Par.

στέρνῳ ἐν ὀβριμόεντι πελώριον ἔγχος ἐλάσσας.
ὣς πέσεν· οἱ δὲ φέβοντο λεὼ κείνοιο πεσόντος.
οἵδε Νεοπτολέμῳ Μυσῶν πέσον ἡγεμονῆες·
αὐτὰρ οἱ ἄλλοι ὥςτε κόνις ἀνέμοιο θύελλῃ,
ἥν τε Τυφὼς ἀνάειρε, κεδάννυντ' ἄλλοθι ἄλλος.
Τρῶες δ' ὡς ἐνόησαν αἤσυλα μέρμερα ἔργα,
κειάμενοι νέκυας, ποτὶ πύργους ἔνδον ἵκοντο.
καὶ τότε μὲν Ἕλενος, θεόφοιτος μάντις ἀμύμων,
ἤ ῥ' Ὀδυσῆος ἐν ἔργμασιν Ἀργείοισιν ἐπελθών,
ἢ μόνος αὐτομόλοισιν ἐπηλυσίῃσι βαδίσσας,
ἐκ σιδηρίταο, κατ' Ὀρφέα, μαντιπόλοιο,
λίθου ἀνδρολόγοιο, μαθὼν ὅσα τεύχετο Τροίῃ,
εἶπε Φιλοκτήταο βίην κομίσαι ἀπὸ Λήμνου,
ὀστέα τε Πέλοπος ἐξ Ἤλιδος οἰσέμεν ὦκα·
αἶσα γὰρ ὧδε πεσεῖν ὑπ' Ἀχαιῶν Τρώϊον ἄστυ.
ὣς Ἕλενος ἔρεεινε θεόπροπος· οἱ δ' ἐτέλειον.
Αὐτίκα δ' ἐκ Λήμνοιο Ποιάντιος ἤλυθεν ἥρως,
εὐμήκης, μελανόχροος, εὔθετος ἠδὲ σύνοφρυς,
τόξα φέρων στονόεντα· πόδας δέ οἱ ἕλκος ἔτειρε.
πέτρῃ δ' ἀρτεμέα ἐχιήτιδι τεῦξε Μαχάων.
τὸν δ' ὁ Κόϊντος ἔπεφνεν ὑπ' Εὐρυπύλοιο βολῇσιν.
αὐτίκα δὲ Ποιάντιος ὄβριμος υἷις ἐκεῖνος

564. ἐλάσας vg. 565 κείνοιο Par. Vat. κεῖνοι Vind. κεί-νου vg. 566. αἱ δὲ vg. 568. κεδάννυντο ἄλλοθι Par. Vat. κεδάννυντο ἄλλοθεν vg. 570. ἔνδον τ' vg. 571. μὴν vg. 572. ἐν deest vg. 573 μόνος ἐπ' Vind. αὐτομόλησιν vg. 577. τε Vat. τὰ vg. 579. θεόπροπον Vind. 580. λήμνοιο Par. λήμνου vg. 584. δ' deest Vat. βουλῆσιν Vind. 585. υἱὸς vg.

ἐς μόθον ἐκκαλέεσκε Τρώων ὅς κε θέλησιν,
ἀντία τοξάζεσθαι· μοῖρα δὲ Δύσπαριν ἦγεν,
ὅς ῥά τε νηπιέη τι καταντίον ἤλυθε τοῖο.
ἤτοι γὰρ βέλος ἧκε, Φιλοκτήταο δ' ἄμαρτεν.
αὐτὰρ ὁ δεύτατος ἐσσυμένως προέηκεν ὀϊστόν,
καὶ βάλε μὶν πρώτιστον ἐεὶς λαιὴν κατὰ χεῖρα·
δευτερον αὖτ' ἐφέηκε, καὶ ὄμματος ἔκβαλε γλήνην
δεξιτεροῦ, γοόωντος· ὁ δὲ τρίτον ἧκεν ὀϊστόν,
καὶ βάλεν οὐδ' ἀφάμαρτεν ἐπὶ σφυρίοισι τιτήνας.
τὸν δέ τε Τρῶες ἄειραν, νυκτί τε κάτθανε μέσσῃ
σὺν δ' ἄρα τοῖο γυνὴ προτέρη θάνε φίλτρῳ ἐκείνου,
ἢ πυρί, ὡς ὁ Κόϊντος, ἢ, ὡς Λυκόφρων, ἀπὸ πύργου,
ἢ βρόχον ἀψαμένη, ὡς Δικτυϊ εἴδετ' ἄριστον·
κάτθανε δ' οὖν αὐτή, εἴθ' οὕτως εἴτε ἐκείνως.
Δηΐφοβος δ' Ἑλένης πόσις ἔπλετο Τυνδαρεώνης,
ἢ ῥ' ἀέκουσαν ἑλών, εἴτε Πριάμοιο φραδαῖσιν.

Ἀργεῖοι δ' ὡς χάρμης οὐκέτι δέρκετο τέρμα,
αὖθις Ὀδυσσέα Τρωσὶν ἐπίσκοπον ἧκαν ἐν ὄρφνῃ.
ἕσπετο καὶ Τυδείδης· Τρωσὶ δὲ μίχθεν ἰόντες.
οἱ δὲ θεοῖσιν ἔρεζον, πῦρ δ' οὐ καίετο ἱρῶν,
βωμῶν δ' αὖ κατέπιπτε βοῶν τε κρέα καὶ αἰγῶν.
Τρῶες δ' ὡς ἐνόησαν ἀπαίσια σήματα ἱρῶν,

587. εἶλεν, adscripta pro γραφῇ vulg., Vat. 588. γι Par. κατεναντίον Vind. 589 γὰρ] μὲν Vat. δ' deest vg. 390. δεύτερον vg. 591. πρώτιστα vg. 592 αὖ vg. 593. δεξιτερὴν vg. ὁ deest. vg. ἐφέηκεν Vat 597. τε deest vg τε Par. δὲ vg 596. δ' deest Vind. 598. εἰδομένη τε Vat. An fuit Δίκτυς τ' Ἰδομενεύς τε? 599 δ' οὖν Vat. οὖν vg. εἴτε Vat. εἴτ' vg. 600. ἐπέλετο Vind. 603. ὀδυσσέα Vat. Ὀδυσσῆα vg. 605 ἔρεξον vg. δ' ἐκαίετο Vind.

Digitized by Google

στέρνῳ ἐν ὀβριμόεντι πελώριον ἔγχος ἐλάσσας.
ὣς πέσεν· οἱ δὲ φέβοντο λεὼ κείνοιο πεσόντος.
οἶδε Νεοπτολέμῳ Μυσῶν πέσον ἡγεμονῆες·
αὐτὰρ οἱ ἄλλοι ὥστε κόνις ἀνέμοιο θυέλλη,
ἥν τε Τυφὼς ἀνάειρε, κεδάννυντ' ἄλλοθι ἄλλος.
Τρῶες δ' ὡς ἐνόησαν αἴσυλα μέρμερα ἔργα,
κειάμενοι νέκυας, ποτὶ πύργους ἔνδον ἵκοντο.
καὶ τότε μὲν Ἕλενος, θεόφοιτος μάντις ἀμύμων,
ἥ ῥ' Ὀδυσῆος ἐν ἔργμασιν Ἀργείοισιν ἐπελθών,
ἢ μόνος αὐτομόλοισιν ἐπηλυσίῃσι βαδίσσας,
ἐκ σιδηρίταο, κατ' Ὀρφέα, μαντιπόλοιο,
λίθου ἀνδρολόγοιο, μαθὼν ὅσα τεύχετο Τροίῃ,
εἶπε Φιλοκτήταο βίην κομίσαι ἀπὸ Λήμνου,
ὀστέα τε Πέλοπος ἐξ Ἤλιδος οἰσέμεν ὦκα·
αἶσα γὰρ ὧδε πεσεῖν ὑπ' Ἀχαιῶν Τρώϊον ἄστυ.
ὣς Ἕλενος ἔρεινε θεόπροπος· οἱ δ' ἐτέλειον.
Αὐτίκα δ' ἐκ Λήμνοιο Ποιάντιος ἤλυθεν ἥρως,
εὐμήκης, μελανόχροος, εὔθετος ἠδὲ σύνοφρυς,
τόξα φέρων στονόεντα· πόδας δέ οἱ ἕλκος ἔτειρε.
πέτρῃ δ' ἀρτεμέα ἐχιήτιδι τεῦξε Μαχάων.
τὸν δ' ὁ Κόϊντος ἔπεφνεν ὑπ' Εὐρυπύλοιο βολῆσιν.
αὐτίκα δὲ Ποιάντιος ὄβριμος υἷις ἐκεῖνος

564. ἐλάσσας vg. 565 κείνοιο Par. Vat. κεῖνοι Vind. κεί-νου vg. 566. οἳ δὲ vg. 568. κεδάννυντο ἄλλοθι Par. Vat. κεδάννυντο ἄλλοθεν vg. 570. ἔνδον τ' vg. 571. μὴν vg. 572. ἢν deest vg. 573 μόνος ἐπ' Vind. αὐτομόλησιν vg. 577. τε Vat. τὰ vg. 579. θεόπροπον Vind. 580. λήμνοιο Par. λήμνου vg. 584. δ' deest Vat. βουλῆσιν Vind. 585. υἱὸς vg.

ἐς μόθον ἐκκαλέεσκε Τρώων ὅς κε θέλῃσιν,
ἀντία τοξάζεσθαι· μοῖρα δὲ Δύσπαριν ἦγεν,
ὅς ῥά τε νηπιέητι καταντίον ἤλυθε τοῖο.
ἤτοι γὰρ βέλος ἧκε, Φιλοκτήταο δ' ἅμαρτεν.
αὐτὰρ ὁ δεύτατος ἐσσυμένως προέηκεν ὀϊστόν,
καὶ βάλε μὶν πρώτιστον ἐεὶς λαιὴν κατὰ χεῖρα·
δευτερον αὖτ' ἐφέηκε, καὶ ὄμματος ἔκβαλε γλήνην
δεξιτεροῦ, γοόωντος· ὁ δὲ τρίτον ἧκεν ὀϊστόν,
καὶ βάλεν οὐδ' ἀφάμαρτεν ἐπὶ σφυρίοισι τιτήνας.
τὸν δέ τε Τρῶες ἄειραν, νυκτί τε κάτθανε μέσσῃ
σὺν δ' ἄρα τοῖο γυνὴ προτέρη θάνε φίλτρῳ ἐκείνου,
ἢ πυρί, ὡς ὁ Κόϊντος, ἤ, ὡς Λυκόφρων, ἀπὸ πύργου,
ἢ βρόχον ἁψαμένη, ὡς Δίκτυϊ εἴδετ' ἄριστον·
κάτθανε δ' οὖν αὐτή, εἴθ' οὕτως εἴτε ἐκείνως.
Δηΐφοβος δ' Ἑλένης πόσις ἔπλετο Τυνδαρεώνης,
ἤ ῥ' ἀέκουσαν ἑλών, εἴτε Πριάμοιο φραδαῖσιν.
Ἀργεῖοι δ' ὡς χάρμης οὐκέτι δέρκετο τέρμα,
αὖθις Ὀδυσσέα Τρωσὶν ἐπίσκοπον ἧκαν ἐν ὄρφνῃ.
ἕσπετο καὶ Τυδείδης· Τρωσὶ δὲ μίχθεν ἰόντες.
οἱ δὲ θεοῖσιν ἔρεζον, πῦρ δ' οὐ καίετο ἱρῶν,
βωμῶν δ' αὖ κατέπιπτε βοῶν τε κρέα καὶ αἰγῶν.
Τρῶες δ' ὡς ἐνόησαν ἀπαίσια σήματα ἱρῶν,

587. εἷλεν, adscripta pro γραφῇ vulg., Vat. 588. γε Par. κατεναντίον Vind. 589 γὰρ] μὲν Vat. δ' deest vg. 390. δεύτερον vg. 591. πρώτιστα vg. 592 αὖ vg. 593. δεξιτερὴν vg. ὁ deest. vg. ἐφέηκεν Vat 597. τε deest vg τε Par. δὲ vg 596. δ' deest Vind. 598. εἰδομένη τε Vat. An fuit Δίκτυς τ' Ἰδομενεύς τε? 599 δ' οὖν Vat. οὖν vg. εἴτε Vat. εἴτ' vg. 600. ἐπέλετο Vind. 603. Ὀδυσσέα Vat. Ὀδυσσῆα vg. 605 ἔρεξον vg. δ' ἐκαίετο Vind.

Digitized by Google

Ἀργείοις Ἀντήνορα πρέσβεα δῖον ἔηκαν,
εἰπέμεν Ἀτρείδαισι καὶ ἄλλοισιν Δαναοῖσιν,
Ἀργείην Ἑλένην καὶ χρήματα πολλὰ λαβόντας
παύσασθαι πολέμοιο· ἅλις τετίηνται Τρῶες.
Ὣς ὅ μὲν εἶπεν ἐπελθών, οἱ δ' ἐθέλεσκον Ἀχαιοί.
ἀλλ' Ὀδυσεὺς Τυδείδης τ' αὖ κατέρυξαν ἰόντες,
φάντες ὅσα Τρώεσσι μεμιγμένοι ἔννυχον εἶδον.
τῷ πάντας κατέρυξαν, ἐτώσια πρέσβιν ἰέντες·
αὐτοὶ δ' αὖθ' ἑλέειν φράζοντο Τρώϊον ἄστυ.
οὔτοι Ὀδυσσέα οἶδα σάφα, πότε Τρῶες ἐπέσχον,
ἢ ἐνὶ κείνῃ νυκτὶ ἐπίσκοπον εἴτε τοι ἄλλῃ.
κεῖνον γὰρ Ἑκάβη καταέσχεθε, λῦσε δὲ ὦκα.
αὐτὰρ ἐμὲ δολόεσσα γυνὴ Ἰσαακίοιο
θλῖψεν ἐπικρατέως, λεπροῖς δ' ἐχαρίζετο πολλά,
οὕνεκά οἱ καλῶς καταθύμια πάντα ἔρεζον,
ἀλλ' ἐγὼ οὐ πιθόμην· ἦτ' ἂν πολὺ κέρδιον ἦεν.
τοὔνεκα ἧς ἀνίης μεμνημένος οὐκ ἀλέγισσα,
ὁππότε Τρῶες Ὀδυσσέα Τρώϊον εἷλον ἐς ἄστυ.
ἐν τόδ' ἐπισταμένως τε καὶ ἀτρεκέως καταλέξω,
ὥς ἄρ' ἔην ἀγνώμων ἠδὲ δόλων ὑποεργός,

609. ἀτρείδαις vg. τε καὶ Par. Vat. 610. λαβόντας Vat. λαβόντες vg. 613. δ' αὖ Par. τε vg. 614. ἔννυχον Par. 615. πάντες vg. πρέσβεις ἰόντας vg. Hunc versum ex duorum reliquiis conflatum putabat Jacobs. 616. αὖθ' ἑλέειν Par. αὖτ' ἑλέειν vg. 617. οὔτοι Par. οὔτι δ' Vat. οὐδὲ vg. σάφα πότε libri omnes. σάφ' εἴποτε vg. 619. κατέχεσθαι, λῦσαι δ' vg. 620. Ἰσαακείοιο vg. 621. ἐκκρατέως Vat. ἐχαρίσατο Vat. 622. οὕνεκεν Vat. 624. οὕνεκεν Vat. 626. τὲ deest Vat. 627. Malim εὐγνώμων.

Digitized by Google

ὃς καὶ δειλὸς ἐὼν ἀνὴρ πολέμοισι γεγήθει.
Ὣς δ' ἄρα καὶ τότε πρεσβείην Τρώεσσ' ἀποπέμψας,
μήδετο ἀγκυλόβουλος Τρώϊον ἠμύσαι ἄστυ·
καὶ δὴ δουράτεον μέγαν ἵππον ἐκέκλετο τεῦξαι.
αὐτίκα δ' Αἰακίδης περιδέξιος εἶπεν Ἐπειός
οὗτος ἐμός γε ἄεθλος, ὑμεῖς δέ μοι ἄξετε ὕλην.
Ὣς ἐρέεινεν ἀνήρ· οἱ δὲ ῥώοντο πρὸς ἔργον.
ἀλλ' ὅτε δὴ πάντα χρειώδεα δοῦρα κόμισσαν,
δαιμονίῃσι χέρεσσι πελώριον ἤδρασεν ἵππον,
χρῶσε δ' ἐπὶ χρυσῷ τε καὶ ἀργύρῳ, εὖ κατὰ κόσμον,
μαρμαρυγὰς δὲ λίθων τοῖο περὶ δέργματι θῆκεν.
γαστὴρ δ' ἦν εὐρεῖα, χάνδανε δ' ἔνδοθι πολλούς,
γαστέρι δὲ κρυφίη θύρη, ἐν δὲ πόδεσσι τροχίσκοι.
Αὐτὰρ ἐπεὶ ποίησε πελώριον Ἄρεος ἔργον,
εἴκοσι τρεῖς τε ἔβαινον ἐπίδμονες ἄνδρες Ἄρηος.
πρῶτα Νεοπτόλεμός, Διομήδης καὶ Κυάνιππος,
Ἰδομενεύς, Μενέλαος ἰδ' Ἰλέος ἄλκιμος Αἴας,
Κάλχας Τεῦκρός τε καὶ Νεστορίδης Θρασυμήδης,
Εὔμηλός τε, Λεοντεύς, Εὐρυπύλοιο βίη τε,
Δημοφόων Ἀκάμας τε καὶ Ἄντικλος, ὃς θάνεν ἵππῳ,
Πηνέλεώς τε Μέγης τε καὶ Ἀντιφάτης ἐπὶ τοῖσιν,
Ἰφιδάμας, πρὸς δ' Εὐρυδάμας καὶ Ἀμφιδάμας τις,

629 ἀπέπεμψαν vg. 630. δ' ἀγκυλόβουλος vg. 631 κέκλετο Vat. 634. ἐρῶον Vat. 635 ὁ Vind. δοῦρ' ἐκόμισσαν vg. 636 δαιμονίαισι vg. ἤδρασεν Par. ἵδρασεν Vat. ἤδρασεν vg. 637 χρῶτι vg. 638 παρὰ Vat δέρματα Par. Vat 642. τε ἔβαινον Par. Vat. δὲ ἔβαινον Vind. ἐσέβαινον vg. 644. Οἰλέος ἄλκιμος υἱὸς vg. de coniect Jac. 649. ἰδ' εὐρυδάμας Vat. πρὸς δ' εὐρυδάμας Par. πρὸς δ' ἄρ' εὐρυδάμας vg.

σὺν δ' ἄρα τοῖσιν Ἐπειὸς καὶ Ὀδυσσεὺς πολύβουλος.
Ἀλλ' ἄρ' Ἀτρειδῶν βαιῶν τ' ἄλλων εἶδος ἐνίσπω·
αὐτὰρ ἔπειτ' ἐρέω πάντα πάλιν, εὖ κατὰ κόσμον.
ἤτοι μὲν κρατέων Ἀγαμέμνων, κοίρανος ἀνδρῶν,
λευκὸς ἔην, μέγας, εὐρυπώγων, κυανοχαίτης,
ἠϋγενής, εὐπαίδευτος, μακάρεσσιν ὁμοῖος.
τοῖο δ' ἀδελφὸς βαιὸς ἔην δέμας, εἶχε δ' ἄρ' εὖρος·
πυῤῥόχροος δ' ἄρ' ἔην, δασυπώγων, ξανθοέθειρος.
Νέστωρ δ' αὖ μέγας ἠδὲ κατάῤῥις, γλαυκόφθαλμος,
μάκροψις, ὑπόπυῤῥος, λευκοκόμης, πολυφράδμων.
Ἰδομενεὺς δ' ἄρα γοργάς, κυανόχρους, μεσοήλιξ,
κονδόθριξ, δασυπώγων, εὖριν, οὐλοκάρηνος,
Μηριόνης βαιός, πλατύς, εὔθριξ, οὐλοέθειρος,
λευκός, στρεβλόῤῥιν, εὐπώγων, εὐρυμέτωπος.
Λοκρὸς δ' αὖτ' ἄρ' ἔην μακρός, ὄσσε δὲ τοῖο φαολκά,
μάκροψις, μελίχρους, οὐλόθριξ, κυανοχαίτης.
Κάλχας μικρὸς ἔην, λεπτός, λευκός, δασυχαίτης,
κρᾶτα φέρων πολιόν, ὁλόλευκον πρὸς δ' ἄρ' ὑπήνην.

Τυδεί-

650. σὺν Par. πὰρ vg. 651. βαιόν Par. 656. γὰρ Vat. 657. δασυέθειρος Par. 658. γλαυκιόων τε vg. 659. λευκοκόμης Par. Vat. γλαυκόκομος Vind. λευκόκομος vg. 660. κυανόχροος Vind. μεσήλιξ Par. 661. κονδόθριξ] Vocabulum hoc ita interpretatur ipse Tzetza: Κόνδος ὁ βραχυήλιξ, ὡς ἐνδεὴς τοῦ κύειν καὶ αὐξάνειν, ἢ κονιδεής τις ὢν καὶ χαμέρπης καὶ κόνει συνδεδημένος, ἤγουν πλησιάζων τῇ γῇ, ὥσπερ πρὸς ἀντιδιαστολὴν τούτου μέγας ὁ μὴ γῇ πλησιάζων. κόντος δὲ τὸ κόντιον καὶ ὁ μακρός, ἐκ τούτου παρὰ τὸ κίειν καὶ πορεύεσθαι εἰς τάσιν καὶ αὔξησιν. 664. αὖτ' ἄρ' a correctore Par. αὖτε vg. ὄσσε Par. ὄσσα vg. φολκά Vat.

Digitized by Google

Τυδείδης δ' ἄρα σώματι ἦεν τεσσαράγωνος,
εὐσχήμων, σιμός, σιμαύχην, ξανθογένειος.
δουρατέου δ' ἄρα ἵππου τέκτων ἦεν, Ἐπειός,
λευκός, ἐν ἡλικίῃ, μέγας, εὔχαρις, εἴδεϊ καλός.
αὐτὰρ Ὀδυσσεὺς ἡλικίην μέσος ἦν ἰδὲ γάστωρ,
λευκός, ἀπλούθριξ, ἠδὲ κατάῤῥιν γλαυκιόων τε.
ὕστατος αὖτ' ἄλλων ἐπιβὰς ποτὶ δούριον ἵππον,
τοῦδε θύρην κλήϊσε· ῥίγια δ' εἴδετο ἔργα.
  Αὐτὰρ ἐπεὶ κεῖνοι ταλακάρδιοι ἐς λόχον ἦλθον,
ἡρώων ἄλλων ὅσοι ἦσαν ὄβριμοι υἷες
πῦρ ζαφλεγὲς προέηκαν, ὄφρα κλισίας ἀμαθύνῃ.
τοὶ δ' ἄρ' ἐν εἰρεσίῃ περόωντες ψευδέα νόστον
ἐς Τένεδον κατάγοντο, Σίνωνα δὲ Τροίῃ ἔασαν
γυμνόν, ἐνὶ μελέεσσιν ἑκούσια τραύματ' ἔχοντα·
τῷ δ' ἄρα πᾶν ἐτέταλτο Ἀχαιῶν ἔργον ἀνύσαι.
ὄρθρῳ μὲν τὰ τελείετο ἔργα δόλοιο Ἀχαιῶν·
αὐτὰρ ἐπεὶ καλὴ ἐφάνη φαεσίμβροτος Ἠώς,
Τρῶες ἀνεγρόμενοι μάλα μέρμερα ἔργα θεῶντο.
αὐτὰρ ἐπεὶ κατέβησαν ὅθι πάρος ἦσαν Ἀχαιοί,

669. σιμαύχην Vat. Vind. σίμαυχος Par. στειναύχην vg. de coniect Jac. 670 δουρατίου vg. ε Par. 672. ἡλικίη Par. 673. ἀπλόθριξ vg. 674 πότε vg. δουρίον Par. Vat. δούρεον vg. 675. δὲ accessit ex Par. ἐκλήϊσε Vat. ἐκλήϊσσε Vind. ἔκλεισε Par. (Cf. H. 245.) δ' deest vg. 676. κἀκεῖνοι Vind. κἀκεῖ Par. Ex Vaticano enim versus 676. 677. 679 totos et versuum 678. 681. 683 maiorem partem cum margine abstulit cultellus bibliopegi. 667. ἦσαν Par. ἔσαν vg. 679. εἰρεσίῃ Par. εἰρεσίῃσι vg. περόωντες Par. Vat. περῶντες vg. 682. ἐπέπαλτο Vind. 683. ὄρ Par. 684. καλὴ] κεφαλὴ Par.



Digitized by Google

εἰσορόωντες θήπεον, οὐδὲ δύναντο νοῆσαι.
τοῖς δὲ Σίνων δολόμητις ἐπέδραμε τραύμασι βρίθων.
μειλιχίοις δ' ὁ γέρων ἀνα είρετο, τίς πόθεν εἴη.
ὁ δὲ δολοφροσύνῃσιν ἀμείβετο ἀγκύλα πάντα.
Εἰμὶ μὲν ἐκ Δαναῶν, Δαναοὶ δέ με ἔδρασαν οὕτως,
ὑμέτερον καλέοντες ἀρηγόνα, ὡς Παλαμήδη.
τόνδ' ἄρα δούρεον ἵππον ἄγαλμ' ἀνέθεντο Ἀθήνῃ,
φάντες ὅτι Τρώεσσιν ὀλέθριον ἦμαρ ἔσειται,
εἴ κεν ἐᾶτέ μιν οὐδὲ νεῷ ἀγάγητε Ἀθήνης.
Ὣς φάτο· τῷ δ' ὁ γέρων πόρεν εἵματα σιγαλόεντα.
Τρῶες δ' αὖ προτὶ ἄστυ πελώριον εἴρυον ἵππον,
νήπιοι, οὐδ' ἐνόησαν ἑὸν φθόρον ἐγκονέοντες.
αὐλοὶ δ' ἄρ καὶ φόρμιγγες βρέμον ἄπλετον ἠχήν.
Τρυφιόδωρος δ' οὐκ εἰδὼς ὅτε πέρθετο Τροίη,
πολλοῖς σὺν ἑτέροις κἀμὲ δοκέων ἀπαφίσκειν,
οὕνεκά μ' Ἰσαάκιος ἀτίσατο αἰσχεοτίμας,
ἄνθεσιν ἐστεφάνωσε τὸν ἵππον ἐκ ποταμοῖο,
χειμῶνος μεσάτοιο ἐόντος, ὡς ἐρεείνω·
Ὀρφεὺς γάρ μ' ἐδίδαξεν, ἀπ' ἀνέρος ἄλλου ἀκούσας,
ψευδέα μή ποτε μῦθον ἐνίσπειν ἀνθρώποισιν.

689. μειλιχίοις Par. μειλιχίως Vat. μειλίχιος vg. (Cf. H. 390). γεράνων ἀείρετο Vind. γέρων ἀναείρετο Par. Vat. γέρων νιν ἀνείρετο vg. 691. εἶμι vg. οὕτως Par. οὕτω vg. ὡς καὶ Vind. παλαμήδη Vat. Παλαμήδην vg. 695. μὴν Vind. νεὼν vg. de coniect. Jac. Ἀθήνῃ vg. 696. λαμπρὰ Vat. 697. δ' αὖ Par. δὲ vg. ποτὶ vg. 698. φόνον Par. 699. ἂρ Vat. αὖ vg. 700. δ' accessit ex Vat. Τροίη] λόγον Vat. 701. ἑτέρων Vind. λέγων ἀποφίσκειν vg. 702. οὕνεκά μ' Ισαάκιος Par. οὕνεκ' Ἰσαακιός μ' vg. αἴσχεο τίμας divisim vg. 705. ἀκούων Vat.

Digitized by Google

ἀλλὰ τὰ μὲν ἐρέω καὶ οὐκ ἀτέλεστα ἐάσω.
Ἵππον δ' ὡς ἐνόησε καθελκόμενον Κασσάνδρη,
Τρωσὶ τορὸν βοάασκε κατάξαι ἢ καταπρῆσαι,
μηδὲ πόλει φερέμεν τυκτὸν κακὸν ὀβριμόεργον.
ὡς ἡ μὲν βοάασκε, πατὴρ δ' ἐπὶ πύργον ἐνεῖρξεν
οἷά τε μαινομένην· ἡ δὲ γοάασκε πεσοῦσα.
Λαοκόων δὲ μόνος δορὶ τόνδ' ἵππον οὐτήσας,
παῖδα δρακοντείοισιν ἀπώλεσεν ἐσθλὸν ὀδοῦσι.
οἱ δ' ἐς Ἀθηναίης ποτὶ ἕσπερον ἤγαγον ἵππον.
ἀλλ' ὅτε δὴ ἐπέρεξαν ἐνὶ βωμοῖς ἑκατόμβας,
κρητῆρες θανάτοιο περὶ πτόλιν ἦσαν ἁπάντῃ.
γυιοβαρὴς Διόνυσος ἐπέβρεμε, χαῖρε δ' Ἐνυώ.
Ἀλλ' ὅτε δὴ κατέμαρψεν ἐπ' ἄμβροτος ὕπνος ἅπαντας,
νὺξ δ' ἄρ' ἔην μέσση, λαμπρὴ δ' ἐπέτελλε σελήνη,
καὶ τότε δὴ Δαναοῖσι Σίνων φλόγα δεῖξεν ἑταίροις.
οἱ δὲ μάλ' εἰρεσίῃσιν ἐπεσσυμένως ἐλόωντες,
ὀτραλέως ἀφίκοντο καὶ ἔνδοθι πάντες ἔβησαν.
καὶ τότε δὴ στοναχή τε καὶ οἰμωγὴ γένετ' ἀνδρῶν,
ἀνδρῶν ἠδὲ γυναικῶν, ὠκυμόρων βρεφέων τε,
κτεινομένων κατὰ νύκτα παρὰ κρητῆρσι καὶ εὐναῖς.
αἱματόεν δὲ πέλαγος ἐπώρνυε κύματα μακρά

707. ἀτέλεστ' ἐάσω γε Vat. 709. κατάξαι Par. 710. μὴ Par. πόλει Vat. πόλεϊ Par. πόλιν vg. τικτὸν Vat. 711. πύργων Vat. 712. βοάασκε Vat. 713. δορὶ τόνδ' Vat. δουρὶ τὸν vg. 714. δρακοντίοισιν vg. 715. ποτε vg. 716. ἐπέρξαν ἐνὶ βωμοῖσι Vind. 717. κρατῆρες vg. ἦσαν Par. ἦσαν vg. 718. γυιόβαρος Vind. 721. ἑταίρων Vat. 722 ἐπεσσύμενοι vg. 725. Hic versus deest Vat. 726. περὶ vg. κρητῆρσι καὶ] Haec omittit Par. εὐναῖς Vat. εὐνῇ vg. κοίτῃ Par. 727. ἐπώρενε ἐς vg.

χαλκείοις ἀνέμοισιν, Ἄρης δ' ἐπενήχετο λύθρῳ.
καὶ τότε δὴ Μενέλαος ἀριστήεσσι σὺν ἄλλοις
Δηϊφόβου μελάθροισι πελάσσας, κτεῖνε μὲν αὐτόν,
αὐτὸς δὲ στονόεσσαν ἀφείλετο Τυνδαρεώνην.
Αἰακίδης δὲ Νεοπτόλεμος Πρίαμον κατέπεφνε
ἐς Διὸς ἑρκείοιο μέγαν περικαλλέα βωμόν.
Ἑκτορίδας δ' ἀπὸ πύργων ἄγριος ὦσεν Ὀδυσσεύς.
Κασσάνδρην δ' ἐκ νηοῦ Λοκρὸς ἀφείλετο Αἴας.
τὴν δ' ἄρα Λαοδίκην ἐνὶ χάσματι δέξατο γαῖα.
Αἰνείας δὲ καὶ Ἀγχίσης φύγον Αὐσονίηνδε,
ἐξ ὧν περ γενεὴ Λατίνων πέλεν ὀβριμόθυμος.
παῦροι δ' αὖτε καὶ ἄλλοι ἔκφυγον υἷας Ἀχαιῶν.
οἱ δ' ἄλλοι κοινῷ θανάτῳ κατὰ μοῖραν ἐπέσπον.
οἴην μὴν Ἀντήνορος εἰρύσαντο γενέθλην
Ἀργεῖοι, ξενίης μνήμην φορέοντες ἐκείνου,
παρδαλέην προθύροις ἀρίγνωτον σῆμα βαλόντες.
Αὐτὰρ ἐπεὶ τετέλεστο μακρόχρονον ἔργον Ἄρηος,
χρυσὸν ὁμοῦ καὶ ἄργυρον ἠδέ τε Τρώϊον ὄλβον
Τρωϊάδας τε γυναῖκας μοιρήσαντες Ἀχαιοί,
θύσαντες νεκύεσσιν ἑοῖς παρὰ θινὶ θαλάσσης,
ὠκυάλων ἐπέβαινον νηῶν κυανοπρώρων,
ἐς πάτραν δ' ἀνάγοντο, βαθύρροον οἶδμα περῶντες.

728. ἐπινήχετο Par. 730. πελάσας Par. Vat. πέλασσεν vg. 733. εἰς vg. ἐκ Vind. 734. ὦρσεν Par. 735 νηὸς Vat. 738. ὀβριμόθυμος Par. ὀβριμόεθνος vg. 739 δ' αὖτε] Haec omittit Vat. ἔκφυγον Par. ἔφυγον Vat. φυγον vg. νῆας Vat. 740 ἐπίσπον Par. ἐπέσπων Vat. ἐπίσπων vg. 741. μὴν Par. μὶν vg. 743. πρὸ θύρας Par. 749. βαθύρροον Par. quod coniic. Jacobs. βαρύρροον vg.

Στησίχορος δ' ἐρέησιν ἑοῖς ἐπέεσσιν νόστον,
ἠμὲν ὅσοι πελάγει φθάρεν ἠδ' ὅσοι ἤλυθον ἄλλῃ,
ἠδ' ὅσοι εἰσαφίκοντο φίλην παρὰ πατρίδα γαῖαν.
κεῖνος ταῦτ' ἐρέησιν ἀνήρ, γλῶσσα δ' ἄρ' ἐμεῖο
βουλῇ Ἰσαακίοιο δολόφρονος οἶ τε δάμαρτος
ἄρτου δευομένη καταΐσχεται, οὐδ' ἐπαείδει
οὐδὲ θέλει πονέειν, περὶ ἄλγεσι θυμὸν ἔχουσα.
καὶ τόδε τίς που εἴσεται ἀνὴρ ὄρθια κρίνων,
ὡς ἄρ' ἄτερ καμάτοιο ὑμῖν κατὰ πάντ' ἐρέεινα.
ἀλλ' ὑμεῖς, τέκνα μοιρηγενέων γενετήρων,
ἄλλοθεν Ἀργείων νόστον δίζεσθ' ἐπαείδειν.
αὐτὰρ ἐγὼν ἐρέω, περὶ τέρματι Μοῦσαν ἑλίσσων,
Τροίην ὁππότε πέρσαν ἀρήϊοι υἷες Ἀχαιῶν.
πρωτίστης προπάροιθεν Ὀλυμπιάδος μεγακύκλου
μέτρον ἀπειρέσιον τετρακοσίων λυκαβάντων
ὀγδοάτων δεκάτων τε Τρώϊον ὤλετο ἄστυ,
ὡς Σικελὸς Διόδωρος ἐν Ἱστορίῃσιν ἐνείρει.
ἀλλὰ τὰ μὲν κατέλεξα κύκλα μεγάλων ἐνιαυτῶν.
μῆνα δὲ ἤδη ἐρείω ἦμάρ τ' ἠδέ τε ὥρην
οἰκτροτάτου λυκάβαντος, ὃς ἄλγεα θήκατο Τροίῃ.

750. στασίχορος Par. 752. περὶ Par. Vat. 753. ἄρ' deest Vat. 754. ἰσαάκοιο Par. οἶ τε Vat. οἶ δὲ Vind. ἠδὲ vg. 755. καταΐσχεται libri omnes. κατίσχεται vg. 756. ἄλγεσι Vat. 757. τόδε Vat. τάδε vg. ὄρθρια Vind. ἐρέεινε Par. 760. νόστου Par. Aut ἐπακούειν aut νόστου δίζεσθε ἀοιδὴν coniic. Jacobs. 761. ἐλάσας Par. ἐλαύνων Dodw. 762. Τροίην Par. Τροίαν vg. 763. μετὰ κύκλου Dodw. Par. μεγά κύκλου Vind. Correxit Bentleius. 764. μέτροις Vat. 765. ὤλετο Par. ἐνεῖλον Vat. εἴλετο vg. 768. τ' deest Vat. Vind. Versus 769 et 774. — 780. abscissi sunt a Vat.

δωδεκάτη μὲν ἔην μηνὸς Θαργηλιῶνος,
τόν ῥ' Αἰωνάριον κικλήσκει μὲν Λογγῖνος,
Ἰανουάριον δ' ἀνέρες πάντες καλέουσι.
νὺξ δ' ἄρ' ἔην μέσση, λαμπρὴ δ' ἐπέτελλε σελήνη,
παρθένου εἰςελάουσα δρόμον μεγάλοισιν ἐν ἄστροις,
ἠελίου ἀμφ' Αἰγόκερον Κρόνου οἶκον ἐόντος.
Καλλιστὼ δ' ἱέρεια κλειναῖς ἦν ἐν Ἀθήναις
οἰκτροτάτου μεγάλου λυκάβαντος. κείνη ἐν ὥρῃ,
κείνῃ νυκτὶ ὁ Λέσβιος Ἑλλάνικος ἀείδει,
σὺν τῷ καὶ Δοῦρις, Τροίην ἑλέειν Παναχαιούς,
οἴκαδε, δ' ἐλθέμεναι λυγρὸν τὸν νόστον ἰδόντας.

774. εἰςελάασα vg. cum Dodw. 780. τ' Par. τὸν deest Vind.